κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβών,
ἐκ τῆς παλαίστρας θυμάτιον ὑφείλετο. 180

---

179. Rav. κάψας.

Διαβήτην pro adiectivo est: *τὸν ὀβελίσκον διαβήτην λαβών.* Ita in Avibus v. 1002. *τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον ἐνθεὶς διαβήτην.* Hoc monendum videbatur, ne quis veru et circinum diversa instrumenta esse putaret: quòd fecit Reisigius in Museo Rhenano ann. II. fasc. II. p. 205. cui cupidius sua defendenti accidit ut mechanices legum oblitus facilius extremum veruculi apicem, quam medium veruculum inflecti contenderet.

180. Iuvernizius ad hunc versum sic scribit: *in libro Rav. scriptum fuerat ἐκ τραπέζης, cuius deinde loco παλαίστρας substitutum est. Atque eius quidem libri grammaticus ad vocem τραπέζης suum commentarium facit.* Libri omnes *θοιμάτιον.* Articulum qui ferri non posse vidit, Brunckius ad Plut. 985. *ἱμάτιον* scribi iussit. Praeterea aliis offensionem fecit mensa in palaestra. Quin Reisigius in praef. p. 24 seqq. etiam furti insimulatione liberare Socratem studuit, de quo tamen Eupolis quoque: *Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν.* Sed Reisigii explicatio huius loci vereor ut cuiusquam assensum tulisset, etiam si non esset refutata a Süvernio p. 14. seqq. Quamquam huic quoque idem quod mihi olim caeterisque interpretibus omnibus accidit, ut, quod vitio non animadverso necessarium erat, ad parum verisimilia confugeremus. Multa sunt in hoc loco, quae lectorem morentur: nomen male coniunctum cum articulo, ubi aliqua, non certa quaedam res significatur, *θοιμάτιον;* ipsum illud, quod vestem surripuisse dicitur Socrates: ad-

ΣΤΡΕΨΙΑΔΗΣ

τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ', ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτην.
μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν.

ΣΤΡΕΨΙΑΔΗΣ. ΜΑΘΗΤΗΣ. ΑΛΛΟΙ ΜΑΘΗΤΑΙ. ΣΩΚΡΑΤΗΣ.

Ὦ Ἡράκλεις, ταυτὶ ποδαπὰ τὰ θηρία; 185

ΜΑΘΗΤΗΣ

τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;

ΣΤΡΕΨΙΑΔΗΣ

τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς Λακωνικοῖς.

---

dendum erat enim etiam venditam vel oppigneratam esse, ut emeretur quo coenarent; tum mensa in palaestra; deinde cineres in mensa sparsi; porro unde sumptum sit quod pro circino esset veruculum; postremo, quod non apparet, quomodo circino circulum describens vestem furari Socrates potuerit. Haec omnia uno quasi ictu profligasse mihi videor, quum sublato vetusto mendo scripsi *θυμάτιον*. Esuriens cum esurientibus discipulis adstitit Socrates in palaestra ad mensam, in qua et hostia et quibus ad sacra opus est instrumenta iacebant. Ibi mensam conspersit cinere, cuius copia erat ex igne sacrorum caussa accenso, arreptoque veru, eoque in circini modum inflexo, circulum coepit describere, sic ut qui circumageretur circini pes hostiam corriperet secumque auferret. Sacrificatum autem esse in palaestris, satis constat vel ex his Platonis in Lyside p. 206. D. *καὶ ἅμα λαβὼν τὸν Κτήσιππον προςῄειν εἰς τὴν παλαίστραν· — εἰςελθόντες δὲ κατελάβομεν αὐτόθι τεθυκότας τε τοὺς παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα.* Hermaea illi agebant.

183. *Σωκράτη*] *Σωκράτην*, L. C. I. uterque. ERN. Id, ex Reizii etiam sententia, ut usitatius, reposuimus, firmatumque libris Rav. et Ven.

185. *ποδαπὰ*] Ib. *ποταπά*. ERN.

186. Brunckius *εἰκέναι* Atticum reposuit, pro *ἐοικέναι*, quod in libris est, etiam Ravennate.

187. *τῆς Λακωνικῆς*] Hoc reposuimus pro *τοῖς Λακωνικοῖς* e MS. R. re etiam et ratione postulante, ut docet Dukerus ad h. l.

ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;

ΜΑΘΗΤΗΣ

ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς.

ΣΤΡΕΨΙΑΔΗΣ

βολβοὺς ἄρα

ζητοῦσι. μὴ νῦν τοῦτό γ' ἔτι φροντίζετε. 190

ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.

Est Pylus Laconica, quae distinguitur ab alia urbe cognomine. ERN. Ita Reizius etiam volebat. At vero recte caeteri libri, τοῖς Λακωνικοῖς, quod non solum possessivum est, sed aeque de hominibus Lacedaemoniis dicitur, ac Λάκωνες, ut in Lysistr. 628. in Eccleslaz. 356. in Pace 212. Res illa gesta biennio ante actas Nubes, Ol. LXXXVIII. 4. Vide Thucyd. IV. 29—38.

190. τοῦτό γε] Τοῦτ' ἔτι R. τοῦτον γε L. ERN. Etiam Brunckius τοῦτ' ἔτι, e codd. A. C. atque ita etiam MSS. Elbing. et Bavar. Ac sane melior haec lectio videtur, quo minus Schützii μή νυν probo, quod Reizio quoque placebat. Sed scribendum, ut Reisigius dedit, τοῦτό γ' ἔτι. Non enim recte Porsonus ad Hec. 1214. τουτογί, quia τοῦτο ad praegressa refertur, et non est monstrantis. Recepit tamen Wolfius. Ravennas τοῦτό γε φροντίζετε.

191. εἰσὶ μεγάλοι καὶ] R. εἰσὶν οὗτοι καὶ καλοί. ERN. Non est obscurum, haud apte mutari sententiam huius loci, coli signo post οἶδα posito, quod facere placuit Reisigio. Μεγάλοι καὶ καλοὶ propter unius libri dissensum mutare nolui, ut olim feceram. Sed quae ad defendendam illius libri scripturam tum attuli, non delenda duxi. Sunt autem haec. Vocabulum μεγάλοι etiam scholiasten ignorasse coniicias, qui nihil aliud, quam haec adnotaverit: ὡς ἀγροῖκος φησὶν εἰδέναι τῶν περὶ Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται. Ac μεγάλοι quidem nec vitio ullo laborat, et vere etiam ac docte dictum est. Etsi enim Athenaeus II. 23. ubi de bulbis agit, nihil de eorum magnitudine dicit, Plinius tamen, XIX. 30. *vetustiores*, inquit, *improbant; item parvos et longos: contra rubicundis rotundioribusque laus, et grandissimis.* Sed hic locus etiam hanc vim habere poterit, ut ad καλοὶ interpretationis caussa μεγάλοι adscriptum fuisse putemus, quum, qui essent optimi bulbi, aliquis indicare vellet. Quod si quis elegantiam et comicam virtutem utriusque lectionis diligenter expendat, vulgata facile superatur a scriptura codicis Regii. In vulgata enim nihil est, quod placere possit, praeter simplicitatem Strepsiadae: in altera lectione ad simplicitatem senis et maior vis orationis et facetior quidam comicae dictionis lepor accedit. Neque enim, ubi meliores bulbi inveniantur, scire se dicit, quod in vulgata lectione est: ex quo consequitur, aliquos tamen hic inveniri posse, ubi isti eos quaerant: sed, quo magis illos

τί γὰρ οἵδε δρῶσιν, οἱ σφόδρ' ἐγκεκυφότες;

ΜΑΘΗΤΗΣ

οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.

ΣΤΡΕΨΙΑΔΗΣ

τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;

---

a quaerendis bulbis deterreat, ubi omnino inveniantur, scire se dicit, quo significat, nullos hic inventum iri. Deinde haec, ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶν οὗτοι, vel per se plus valent ad risum excitandum, quam vulgata lectio. Nam non solum simplicitatem, verum etiam rusticam et ineptam superbiam vocabulo οὗτοι prodit Strepsiades, qui hanc scilicet rem a tantis philosophis quaeri miratus, id nimirum se quoque scire laetatur. Quae stultitia hominis magis etiam ridetur, quum illa addit, καὶ καλοί: quibus verbis, duplicata sententia, non modo confirmat stuporem suum, sed auget etiam.

192. Brunckius edidit τί δ' ἄρ' οἵδε δρῶσιν, propterea quod γὰρ hic locum habere negat. At enim vero falluntur, qui γὰρ non putant in interrogatione poni posse, nisi ubi aut e praecedentibus aut e sequentibus verbis aliqua ratio erui possit, quare γὰρ significet *igitur*. Nam quaevis interrogatio ita est comparata, ut recte in ea γὰρ adhibeatur, quemadmodum Romani etiam *quisnam*, *ubinam*, vel *nam quis*, *nam ubi* dicunt. Sic apud Homerum Iliad. XVIII. 182.

Ἶρι θεά, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;

Vbi nec praecedit quidquam, nec sequitur, quare γὰρ idem sit quod *igitur*. Nimirum in quavis interrogatione hoc potest intelligi, *incertus sum*, vel *miror*, vel *dic mihi*. Vnde quum ipsa sequitur interrogatio, recte γὰρ aut *nam* adhibetur, ut quo caussa indicetur et ratio, quare quis incertus sit, aut miretur, aut dici sibi aliquid velit. Ita hic, τί γὰρ οἵδε δρῶσιν, est stupentis novo aliorum discipulorum adspectu, rationemque reddentis, quare eos miretur. Similiter infra v. 201. pariter re nova conspecta,

πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν;

et v. 219. ubi nominari sibi iubet eum, de quo interrogat:

φέρε, τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;

193. Οὗτοί γ' ἐρεβοδιφῶσιν Brunckius e tribus MSS. Regiis probante Porsono ad Hec. 1206. male. Distinguit δὲ hos ab illis qui dicti sunt v. 189. Servatum δ' in Rav. Post hunc versum Reisigius hos inseruit ex Diog. Laert. II. 18.

Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν
τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς,

de quibus dixit in praefatione p. 20. seqq. Mutavit postea sententiam ita, ut iis locum assignaret ante v. 219. adiectis etiam aliis versibus, quos excidisse suspicatur. Neutrum facile persuadeat. Sed de his versibus vide praefationem nostram.

ΜΑΘΗΤΗΣ

αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται. 195

ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.

ΣΤΡΕΨΙΑΔΗΣ

μήπω γε, μήπω γ'· ἀλλ' ἐπιμεινάντων, ἵνα

αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.

ΜΑΘΗΤΗΣ

ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα

ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον. 200

ΣΤΡΕΨΙΑΔΗΣ

πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν; εἰπέ μοι.

ΜΑΘΗΤΗΣ

ἀστρονομία μὲν αὑτηί.

ΣΤΡΕΨΙΑΔΗΣ

τουτὶ δὲ τί;

ΜΑΘΗΤΗΣ

γεωμετρία.

ΣΤΡΕΨΙΑΔΗΣ

τοῦτ' οὖν τί ἐστι χρήσιμον;

---

196. MS. Bavar. ὑμῖν ut Schützius coniecit. Scholiastes observat egressos esse aliquos discipulos, scilicet ut viderent istum novum advenam. Sed verisimilius est, hos ipsos, quos modo subterranea scrutantes vidit Strepsiades, in interius conclave se recipere iuberi. Eodem versu Reisigius e cod. Dorv. dedit περιτύχῃ, aptius id esse ratus pro ea quam esse putabat horum verborum differentia. Apud Dobraeum tantum valebat Porsoni auctortais, ἐπιτύχῃ ut propterea praeferret, quod περιτυγχάνειν quis rei, homini ἐπιτυγχάνειν diceretur. Confunduntur haec verba ab librariis, quae sic potius differre videntur, ut ἐπιτυγχάνειν dicatur, qui quaerit; περιτυγχάνειν, qui non quaerens in aliquid incidit. Rav. κεῖνο.

200. Pro eo, quod vulgo legebatur, πολὺν ἄγαν γ' ἐστὶ χρόνον, cum Brunckio scripsimus πολὺν ἄγαν ἐστὶν χρόνον, quod est etiam in MSS. Ravennate, Borgiano, aliisque. Ac γὲ etiam ab Ernestii L. abest. v. ad v. 197.

202. 203. Pertinet ad reprehendendum Socratem, qui studium geometriae et astronomiae commendabat suis. Xenoph. Mem. Socr. lib. IV. ERN. Rav. Ven. αὕτη.

203. Cod. Ven. cum articulo τὸ χρήσιμον, ut suspiceris id ad huiusmodi scripturam pertinere, τοὖδ' οὖν τί ἐστι τὸ χρήσιμον;

ΜΑΘΗΤΗΣ

γῆν ἀναμετρεῖσθαι.

ΣΤΡΕΨΙΑΔΗΣ

πότερα τὴν κληρουχικήν;

ΜΑΘΗΤΗΣ

οὔκ, ἀλλὰ τὴν σύμπασαν. 205

ΣΤΡΕΨΙΑΔΗΣ

ἀστεῖον λέγεις.

τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.

ΜΑΘΗΤΗΣ

αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;

αἵδε μὲν Ἀθῆναι.

ΣΤΡΕΨΙΑΔΗΣ

τί σὺ λέγεις; οὐ πείθομαι.

ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.

ΜΑΘΗΤΗΣ

ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον. 210

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ ποῦ Κικυννῆς εἰσὶν οὑμοὶ δημόται;

---

204. γῆν ἀναμετρεῖσθαι] Ambiguitas est in verbo, quod significare potest *metiri* et *mensura dividere*, ut simplex μετρεῖσθαι, quod passive est *mensura accipere*. Hac ambiguitate captatur risus, et irridentur philosophi non populariter loquentes. ERN. Fallitur Ernestius, philosophos non populariter loquentes irrideri putans. Nam ἀναμετρεῖσθαι pro simplici μετρεῖν nequaquam proprium est philosophorum aut a populari sermone alienum. Ita Euripides in Ione v. 1271.

ἐν συμμάχοις γὰρ ἀνεμετρησάμην φρένας
τὰς σάς, ὅσον μοι πῆμα δυσμενής τ' ἔφυς.

et in Electra v. 52.

γνώμης πονηροῖς κανόσιν ἀναμετρούμενος
τὸ σῶφρον ἴστω.

Ad illa, πότερα τὴν κληρουχικήν, compara Bachmanni Anecdota vol. I. p. 279. 3.

205. Tenet vulgatum σύμπασαν Rav.

208. Videri potest αἱδὶ scribendum esse. Sed nihil mutandum. Leviter et veluti obiter monstrat Athenas: distincte mox Euboeam et Lacedaemonem: unde ibi ἡδὶ et αὑτηΐ.

211. Pro Κικυννεῖς recte Brunckius duce codice suo Atticam

ΜΑΘΗΤΗΣ

ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,
ἡδὶ παρατέταται μακρὰ πόῤῥω πάνυ.

ΣΤΡΕΨΙΑΔΗΣ

οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.
ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν; 215

ΜΑΘΗΤΗΣ

ὅπου 'στίν; αὑτηί.

ΣΤΡΕΨΙΑΔΗΣ

ὡς ἐγγὺς ἡμῶν. τοῦτο μέγα φροντίζετε,
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόῤῥω πάνυ.

ΜΑΘΗΤΗΣ

ἀλλ' οὐχ οἷόν τε νὴ Δί'.

ΣΤΡΕΨΙΑΔΗΣ

οἰμώξεσθ' ἄρα.
φέρε, τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;

---

formam reposuit. Rav. *Κικυνεῖς*, et *οὐμοὶ* pro vulgato *οἴμοι*. Ven. *Κικυννεῖς εἰσὶν οὐμοί*.

213. Reizius e scholio *ἤγουν ἰδοὺ* coniecit alios olim, sed repugnante metro, *ἡνὶ* pro *ἡδὶ* legisse. Plenam distinctionem post *ἡδί*, a Brunckio in minorem mutatam, a me, ut Graeci sermonis consuetudo postulabat, plane sublatam, servarunt Wolfius et Reisigius.

214. *ὑμῶν*] Sic MSS. Edd. Ald. Flor. Paris. Basil. etc. Quaedam, quas nondum vidi, *ἡμῶν*. Illud servat Kusterus. Vellem explicasset. Intellige dictum ad populum, conversa repente oratione, non ad Socraticum. ERN. Brunckius recte dedit *ἡμῶν* e duobus MSS. Regiis et schol. MS. Sic etiam Rav. Editiones ita habent Lugdunensis et Amstelodamensis, ut Harlesius observat. De subacta Euboea v. Thucyd. I. 114.

215. *ποῦ 'στιν*] R. *ποῦ 'σθ'*, quod non displicet. ERN. Id Bentleio quoque rotundius visum. Brunckius *ποῦ 'στιν* retinuit. Et sic Rav. in quo, ut in Veneto, est *Λακεδαιμόνων*.

216. *πάνυ φροντίζετε*] Ia. *πάνυ μέγα φροντίζετε*. Glossa *τοῦ πάνυ* irrepsit in textum. ERN. Etiam Brunckii B. *πάνυ μέγα*. Alii codd. in iisque Rav. *πάνυ* pro *μέγα*. Ven. *πάλιν*. Brunckius recte e Bentleii sententia *μέγα* edidit pro *πάνυ*, quod ex interpretatione natum, et praeterea satis invenustum est, quum statim sequatur *πάνυ*. Praetulit *πάνυ* Reisigius. Suidas: *μέγα*; *ἀντὶ τοῦ μεγάλως. Ἀριστοφάνης Νεφέλαις· τοῦτο μέγα φροντίζετε.*

ΜΑΘΗΤΗΣ

αὐτός. 220

ΣΤΡΕΨΙΑΔΗΣ

τίς αὐτός;

ΜΑΘΗΤΗΣ

Σωκράτης.

ΣΤΡΕΨΙΑΔΗΣ

ὦ Σώκρατες.

ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα.

ΜΑΘΗΤΗΣ

αὐτὸς μὲν οὖν σὺ κάλεσον· οὐ γάρ μοι σχολή.

ΣΤΡΕΨΙΑΔΗΣ. ΣΩΚΡΑΤΗΣ.

ΣΤΡΕΨΙΑΔΗΣ

Ὦ Σώκρατες,

ὦ Σωκρατίδιον.

ΣΩΚΡΑΤΗΣ

τί με καλεῖς, ὦ 'φήμερε;

---

220. ὦ Σώκρατες] Τὸ ὦ, quod MSS. nostri servant omnes, est insititium ad complendum versum. Nec est in edd. antiquis meis; estque alienum. Nam Strepsiades demum v. 223. alloquitur Socratem. Bentleius corrigit: τί; Σωκράτης; Cur autem non, ὁ Σωκράτης; ERN. Reizius probabat Bentleii correctionem. Nam sane Brunckius, qui e quattuor codicibus ὦ Σώκρατες edidit, magnopere fallitur in eo, quod haec verba non vocantis, sed admirantis esse putat. Admirantis foret ὤ, Σωκράτης. Nihilo tamen minus retinendam existimavi librorum MSS. lectionem, quae si recte intelligitur, egregiam in movendo risu vim habet. Etenim Strepsiades, Socratis nomine audito, pro ea, qua ardet, discendi cupiditate, illico hunc vocat. Socrates autem, superbi homo supercilii, et caelestia magis quam humana curans, animum non advertit, quid ἐφήμερος iste, quem dicit, strepat. Igitur Strepsiades, reverentia tactus, metuit, ne ipsi nefas sit illum vocare, ob eamque rem discipulum id facere iubet, et quidem μέγα, voce altiore. Hinc scholiastes: τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης καὶ τοῦτο, οἷον, οὐκ ἤκουσέ μου, αὐτὸς σὺ βόησον. Qui videtur αὐτὸς pro αὐτὸν legisse.

222. Σὺ omittunt Ven. Mut. c.

ΣΤΡΕΨΙΑΔΗΣ

πρῶτον μὲν, ὅ τι δρᾷς, ἀντιβολῶ, κατειπέ μοι. 225

ΣΩΚΡΑΤΗΣ

ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.

ΣΤΡΕΨΙΑΔΗΣ

ἔπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ;

ΣΩΚΡΑΤΗΣ

οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα 230
λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' εὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.

---

226. His ipsis verbis Socratem irridet Strepsiades v. 1507.

227. *Κἄπειτ'* est in Bachmanni Anecd. II. p. 108, 1. Cod. Ven. *περιφρονεῖς*.

230. Ven. *κρεμάσαις*.

231. *Τὸν ὅμοιον ἀέρα* pertinet ad opinionem Ionicorum de anima, quam inde ab Anaximene dicebant *ἀεροειδῆ*, auctore Plutarcho de Plac. Phil. IV. 3. ERN. Ed. Bekkeri *εἰς*, fortasse ex Rav.

232. *εἰ δ' ἂν χαμαὶ*] L. *ὢν χαμαί*. ERN. Cum Brunckio et reliquis *ὢν* edidimus. Nec memoratur e libris MSS. *ἄν*.

233. *οὐ γὰρ ἀλλ'*] C. *οὐ γὰρ ἂν ἀλλ'* salvo quidem versu, sed non e forma Attica. vid. Ran. 192. Eccl. 386. add. Bentl. ad Callim. fr. 92. et Iens. ad Lucian. T. I. p. 545. qui tamen fallitur divisim legendum cum putat. ERN. Fallitur ille eo tantum, quod pronunciari divisim putat: nam multo usu factum est ut haec verba sine interpunctione in unum coniungerentur: non fallitur in explicanda formula, quum putat ellipticam esse. Nam intelligitur ad *οὐ γὰρ* contrarium eius, quod est in verbo cum *ἀλλὰ* coniuncto. Vt exemplo ostendam: quod in Ranis legitur v. 498. *φέρε δὴ ταχέως αὔτ'· οὐ γὰρ ἀλλὰ πειστέον*, hanc vim habet: non enim non obediendum, sed obediendum est. Inde *οὐ γὰρ ἀλλὰ* est *nam profecto*. Potest aliquando etiam ex praecedentibus aliquid intelligi, ut infra v. 330. *οὐ γάρ, μὰ Δί', ἀλλ' ἴσθ' ὅτι πλείστους αὗται βόσκουσι σοφιστάς*, ubi *οὐ γὰρ* refertur ad *μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ καπνὸν εἶναι.*

πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα. 235

ΣΤΡΕΨΙΑΔΗΣ

τί φῄς;

ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;

ἴθι νῦν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμέ,

ἵνα μ' ἐκδιδάξῃς ὧνπερ οὕνεκ' ἐλήλυθα.

ΣΩΚΡΑΤΗΣ

ἦλθες δὲ κατὰ τί; 240

ΣΤΡΕΨΙΑΔΗΣ

βουλόμενος μαθεῖν λέγειν.

ὑπὸ γὰρ τόκων, χρήστων τε δυςκολωτάτων

ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.

ΣΩΚΡΑΤΗΣ

πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;

ΣΤΡΕΨΙΑΔΗΣ

νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν.

ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν, 245

τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ', ὅντιν' ἂν

πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.

ΣΩΚΡΑΤΗΣ

ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ

ἡμῖν νόμισμ' οὐκ ἔστι.

---

238. ὡς ἐμὲ] De forma ὡς ἐμὲ v. ad Xenoph. M. S. II. 7. ERN. Perturbatos affert hos duo versus grammaticus adiectus a me libro de em. rat. Gr. gramm. p. 368. seq.

239. μ' ἐκδιδάξῃς] L. με διδάξῃς, ut v. 245. ERN. Ita etiam Ravennas et Borgianus, atque Elbing. et Bavar. Deinde unus cod. ap. Dobr. εἵνεκ'. Reisigius ἕνεκ'.

241. Pro δυςκολωτάτων exspectes adverbium. Sed librorum scripturam etiam Suidas, Harpocratio, Thomas M. habent in v. χρῆσται.

244. Rav. ἔτριψεν.

247. πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν] Sic et Thuc. I. 27. Demosth. c. Midiam p. 40. ed. Taylor. ERN.

248. Suidas v. νόμισμα habet πρῶτον μὲν γὰρ θεοί. Sed eius MS. apud Dobraeum πρῶτον γὰρ omittit. Cod. Aristophanis Dorv. θεόν. Reisigius ex coniectura, ut videtur, θεοῖς. Grammaticus a me editus cum libro de em. rat. Gr. gr. p. 384. iisdemque verbis

ΣΤΡΕΨΙΑΔΗΣ

τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥςπερ ἐν Βυζαντίῳ; 250

ΣΩΚΡΑΤΗΣ

βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς,
ἅττ' ἐστὶν ὀρθῶς;

ΣΤΡΕΨΙΑΔΗΣ

νὴ Δί', εἴπερ ἔστι γε.

ΣΩΚΡΑΤΗΣ

καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους.
ταῖς ἡμετέραισι δαίμοσιν;

ΣΤΡΕΨΙΑΔΗΣ

μάλιστά γε.

ΣΩΚΡΑΤΗΣ

κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα. 255

ΣΤΡΕΨΙΑΔΗΣ

ἰδού, κάθημαι.

ΣΩΚΡΑΤΗΣ

τουτονὶ τοίνυν λαβὲ
τὸν στέφανον.

ΣΤΡΕΨΙΑΔΗΣ

ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες,
ὥςπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.

Georgius Lecapenus in Matthaei Lectt. Mosq. ex Aristophane afferunt *Βυζάντιοι σιδήρῳ νομίζουσιν.*

249. *τῷ γὰρ*] Brunckius *τῷ δ' ἄρ'*. V. ad v. 192. De ferreis nummis Byzantiorum v. interpp. Pollucis ad IX. 78. Vocabantur illi hoc nomine *σιδάρεοι*. Ven. *ὤμνυτε*.

253. Ven. *νεφέλαις* et mox *ἡμετέραις*. Rav. *νεφέλεσιν* et *ἡμετέρεσι*. Reisigius *ἐς λόγους*, cuius vide Coniect. p. 252. Nec Bekkeri codd. videntur *εἰς* habere.

256. *Ἰδοὺ κάθημαι*. Haec verba affert grammaticus in Excerptis ex codd. MSS. apud Nanios asservatis p. 495. Pro *λαβὲ* Rav. *βλέπε*, idque ductu transverso deletum.

258. Ordo est *ὅπως με μή, ὥςπερ τὸν Ἀθάμαντα, θύσετε*. ERN. Ven. *θύσητε*.

ΣΩΚΡΑΤΗΣ

οὔκ, ἀλλὰ ταῦτα πάντα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν. 260

ΣΤΡΕΨΙΑΔΗΣ

εἶτα δὴ τί κερδανῶ;

ΣΩΚΡΑΤΗΣ

λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρέμει.

ΣΤΡΕΨΙΑΔΗΣ

μὰ τὸν Δί' οὐ ψεύσει γέ με·
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

---

259. πάντα ταῦτα] L. ταῦτα πάντα. Vereor ne Aristophanes scripserit πάντας ταῦτα. Nam πάντα sane, meo sensu, hic friget. ERN. Ταῦτα πάντα etiam Rav. Ven. aliique libri. Ernestii coniectura sane peracuta est. Eademque et Reizii fuit, et Schützii sententia, qui id ipsum in versione expressit. Verum tamen nihil in vulgata lectione mutandum videtur. Nam non solum satis est, Socratem τοὺς τελουμένους ταῦτα ποιοῦμεν, respondere, sed egregia etiam vis ad deridendum philosophum in verbis ταῦτα πάντα inest. Spectant haec verba ad illa, quae ante commemoraverat, ἱερὸν σκίμποδα et στέφανον. Quibus quum deinde addit, haec omnia perpeti oportere eos, qui initientur, insigne quoddam momentum magnamque vim his nugis tribuit, quasi nulla earum sine magno detrimento omitti possit.

260. Rav. quem sequitur Bekkerus, ποοῦμεν, et sic fere ubique, quum prima syllaba brevis est. Quod semel dici satis duxi.

261. παιπάλη] Homer. Od. ο'. 418. Φοίνικες πολυπαίπαλοι. ubi Eustath. h. l. memorat. ERN. Quod scholiastes narrat, lapides conterere Socratem, eoque pulvere conspergere Strepsiadem, vereor ne ille ex mala interpretatione verborum τρῖμμα et παιπάλη confinxerit, quae verba apertum est, hic metaphorice dicta esse. Nam coronae eam vim esse significat Socrates, ut dicendi artificiis imbuat eum, cui imponatur. Quam ut capiti aptet, illud dicit, ἀλλ' ἔχ' ἀτρέμας. Sed, ut in vili illa et sordida domo, corona multo plena est pulvere, quo, dum ea imponitur Strepsiadae, excusso, hic ait, μὰ τὸν Δί', οὐ ψεύσει γέ με.

262. Vulgo ἀτρέμας. Raram formam ἀτρεμί Bekkerus ex codice Rav. reposuit. Eam ἀτρεμεί scripsi ex grammaticorum sententia: v. Herodiani Ἐπιμερισμ. p. 255. Theodosii grammat. p. 75, 4. Favorini Excerpta p. 103, 35.

264. Rav. Ven. ἐπακούειν, male. v. Heindorf. ad Plat. Gorg. §. 93. p. 137.

ΣΩΚΡΑΤΗΣ

εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον, 265
λαμπρός τ' Αἰθήρ, σεμναί τε θεαί, Νεφέλαι βροντησικέραυνοι,
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.

ΣΤΡΕΨΙΑΔΗΣ

μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν δύστηνον ἔχοντα.

ΣΩΚΡΑΤΗΣ

ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν, 270

---

268. καταβρεχθῶ] L. καταβραχθῶ. de verbo v. Thom. M. ERN. Rav. μήπω γε μήπω γε et πτύξομαι et καταβραχῶ cum aliis codd.

269. τὸ δὲ μὴ κυνῆν] Forma τὸ δὲ μὴ inf. rursus occurrit, Ran. 741. etc. De ea vid. Eustath. ad Odyss. p. 1542. qui interpretatur, ὡς κακόδαιμόν ἐστί μοι τό. ERN. Ne pileum quidem, inquit, me attulisse. Id nimirum, puta, male factum.

μὴ κυνῆν] MS. Vat. Vrb. habet μηδὲ κυνῆν, quod Kusterus probat, ob metrum, cui sic consulitur. Sed μηδὲ friget: nam simplex negatio requiritur. Et omnes grammatici veteres commemorant h. l. sic ut sit μὴ κυνῆν. Rectius Bentleius μὴ κυνέην. Sic recitat locum Salmas. ad Tertull. p. 400. et favet MS. Coisl. ERN. Grammatici, qui hunc locum commemorant, exiguae auctoritatis sunt, scholiastes Aristophanis ad Plutum v. 469. ad Vespas v. 443. ad Aves v. 7. et Eustathius ad Od. V. p. 1542. l. 42. qui adeo neglexit numeros, ut pro κακοδαίμονα, quod scholiastae tamen isti habent, ταπεινὸν scribere non dubitaret. Μηδὲ tantum abest, ut frigeat, ut dictum sit elegantius. Nam quis nescit, quum repente in aliquod discrimen incidimus, ita rerum omnium rationem commutatam videri, quasi, quae eventura essent, praevideri potuissent. Sic deinde quum alia nos neglexisse, tum ne hoc aut illud quidem curasse conquerimur. Ita hic Strepsiades, quasi aliquid tamen in hunc casum afferendum fuerit, pessime, inquit, factum, quod ne pileum quidem mecum attuli.

κακοδαίμον'] MS. Vat. Eust. l. c. ταπεινὸν male. ERN. Κακοδαίμονα non minus ex interpretatione natum, quam ταπεινὸν Eustathii. Quare e libro Vrbinate δύστηνον reposui, cui accedit unus Mutinensium quos Bekkerus contulit.

εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθη-
σθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε νύμ-
φαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύτεσθε πρό-
χοισιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ', ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε, δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖ-
σαι. 275

---

271. Ven. omittit ἱεραῖς.

272. χορὸν ἵστατε] v. Kust. ad Plut. 761. ubi docet esse *saltare in orbem*. ERN. Porsonus apud Dobraeum scribendum iudicavit ἱερὸν χορὸν ἵστατε, νύμφαι. Videtur haec appellatio paullo languidior esse, ut, si νύμφαι scripserit Aristophanes, malis id eum nulla ante posita distinctione dixisse, ut esset νύμφαι οὖσαι, quo significaret, quae Oceani filiae nymphae perhiberentur, ipsas esse Nubes. Sed nihil videtur esse, cur librorum scripturam omnium mutemus, modo ne νύμφαις, quod est in gratiam et honorem nympharum, quae sunt in hortis patris Oceani, pro σὺν νύμφαις dictum putetur.

273. προχοαῖς] Ven. προχοάς.

χρυσέοις ἀρύεσθε πρόχουσιν] Primo Bentleius vult scribi χρυσοῖς. Saltem contracte legendum, etsi non necesse sit scribi, quamquam magis Atticum. Sed Thomas M. habet χρυσέαις, quod firmant MSS. nostri R. L. et loca de verbo πρόχουσι allata omnia habent femininum. ERN. Tres Codd. Reg. Brunckii et Ven. χρυσέαις. Ravennas χρύσαις. Brunckius Ionicam formam, χρυσέῃς, posuit ex Thoma Magistro in χοή.

ἀρύεσθε] Suid. ἀρύτεσθε, quod, ut magis Atticum, probat Bentleius. ERN. Hoc recepimus cum Brunckio, restitutum iam a Koenio ad Gregor. Cor. p. 29. Libri MSS. omnes ἀρύεσθε. Vide Porson. ad Phoen. 463.

πρόχουσιν] R. πρόχοις. I. L. πρόχοισιν. ERN. Vnus Regiorum Brunckii προχόῃσιν. Ravennas, Venetus, Borgianus προχόοισιν. Brunckius cum plerisque edd. πρόχουσιν reliquit, formam dativi inauditam. Itaque πρόχοισιν restituimus. Vide ad Eurip. Ion. 449.

275. Huic versiculo stellam addidit Caninius. Vir doctus in exemplo meo Canin. adscripsit ὑπακούσατε. Sic MS. R. ERN. Ravennas οὐπακουσατε. Ven. ὑπακούσατε.

χαρεῖσαι] MSS. R. L. φανεῖσαι: quam lectionem etiam memorant scholia. ERN. Φανεῖσαι etiam in uno Regiorum Brunckii est, cum glossa, παραγενόμεναι. Ven. ἱεροῖς φανεῖσαι. Illud φανεῖσαι, quod in aliquot codd. invenitur, pertinet ad hanc scripturam, τοῖς

ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ. ΣΩΚΡΑΤΗΣ. ΣΤΡΕΨΙΑΔΗΣ.

ΧΟΡΟΣ

Ἀέναοι νεφέλαι, — στροφή.
ἀρθῶμεν, φανεραὶ δροσερὰν φύσιν
εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ — 280
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρποὺς ἀρδομέναν θ' ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον. — 285

ἱερεῦσι φανεῖσαι, quod apertum est ex Cant. 3. in quo scriptum ἱερεῖσι φανεῖσαι, cum interpretatione ὑπηρέταις. Sic Nubes v. 357. Socratem compellant, σύ τε, σεμνοτάτων λήρων ἱερεῦ.

276. ἀέναοι] R. Ia. ἀέννασι. male. ERN. Vide ad Eurip. Ion. 117.

278. εὐάγητον] Bentleius malebat εὐάγητοι vel εὐγάθητοι, L. Bos εὐάχητον, quo verbo utitur Eurip. Hippol. 1272. vel εὐάχητοι pro εὐήχητοι. Sed et Toup. Em. ad Suid. p. 305. εὐάγητοι praefert et comparat Iudae v. 12. ERN. Ego quidem non video, quare ab librorum lectione recedendum sit. Nam verba sic iungenda sunt, φανεραὶ δροσερὰν φύσιν εὐάγητον, quod quare fieri posse Bentleius neget, nullo pacto intelligo. Immo sic toti loco consulitur. Nam quid hoc est, ἀρθῶμεν φανεραί? Quorsum φανεραὶ addidit? Quo nihil profecto potest fingi languidius. Id enim per se intelligitur. De ipsa voce εὐάγητος eique cognatis vocabulis disseruit Hemsterhusius apud Musgravium in Lectt. Eurip. II. 6. sive in adnotationibus eius ad Suppl. 654. Dein nuper Elmsleius ad Eur. Bacch. 660. qui εὐάγητον idem quod λαμπρὸν esse putat. Mihi flexibilem potius et mobilem significare videtur: de qua re alio loco dicam.

279. βαρυαχέος] MS. L. et Suid. βαρυηχέος. ERN. Sic etiam Ven.

283. Vulgo legebatur, καρπούς τ' ἀρδομέναν θ' ἱερὰν χθόνα, quod miror Wolfio placuisse. Brunckius, quod in membr. copula post ἀρδομέναν non inveniretur, ita edidit: καρπούς τ' ἀλδομέναν ἱερὰν χθόνα. Cod. Bavar. χθόνα θ' ἱεράν. Ἀρδομέναν tamen non debebat mutari. Id enim interdum simpliciter nutrire significat, ut apud Pindarum Ol. V, 53. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ubi apte

ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας, ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν. 290

ΣΩΚΡΑΤΗΣ

ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος
ἤσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι

---

commemoravit Heynius interpretes ad Eurip. Suppl. 207. Copulae sedes quum variet in libris, utrique in plerisque vocabulo adiecta, veri simillimum est post secundam vocem a poeta positam esse. Et sic dedit Reisigius. Rav. ἀρδομένην.

286. Nubium variae et commutabiles figurae quoniam tum demum maxime conspicuae sunt, quum pars caeli serena est, solem fulgere dicit chorus, iubetque ἀποσείσασθαι νέφος ὄμβριον, nubilam speciem, qua totum quum obductum est caelum, nullae distingui formae nubium possunt.

287. ἐν omittunt MS. L. Suid. male. ERN. Vulgo contra metrum μαρμαρέαισιν ἐν αὐγαῖς. Brunckius codicis B. quocum Venetus consentit, auctoritate ἐν delevit. Atque unus Regiorum, μαρμαραίησιν αὐγαῖς, unde formam Ionicam, μαρμαρέῃσιν, duci posse putat. Nos e duobus MSS. Regiis et Ravennate ac Borgiano μαρμαρέαις ἐν αὐγαῖς scribendum duximus, quae doctior lectio est.

288. νέφος ὄμβριον] L. Ia. ὄμβριμον νέφος. ERN.

289. Quid hoc est: ἀθανάταις ἰδέαις ἐπιδώμεθα τηλεσκόπῳ ὄμματι γαῖαν? In scholiis commemoratur alia lectio, ἀθανάτης ἰδέας, ut haec verba cum praecedentibus coniungenda sint. Idque etiam Reizio placebat, ac merito. Quin clare liber Ravennas ἀθανάτας ἰδέας exhibet. Ἰδέα de specie corporis dictum in Pluto v. 559. et a Pindaro Olymp. X. 122.

ἐπιδώμεθα] Sic dixit ἐπιδεῖν Lysias c. Poliuchum p. 321. ERN.

290. Vt in grandioris spiritus carmine, systema terminatur versu contrarii generis, ut mos est tragoediae.

291. καλέσαντος] Del. L. I. ERN.

293. Omissum γ' in Ven.

294. Ven. οὕτως γὰρ αὐτὰς τετραμμαίνω.

ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ. ΣΩΚΡΑΤΗΣ. ΣΤΡΕΨΙΑΔΗΣ.

ΧΟΡΟΣ

Ἀέναοι νεφέλαι, στροφή.
ἀρθῶμεν, φανεραὶ δροσερὰν φύσιν
εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ 280
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρποὺς ἀρδομέναν θ' ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον. 285

ἱερεῦσι φανεῖσαι, quod apertum est ex Cant. 3. in quo scriptum ἱερεῖσι φανεῖσαι, cum interpretatione ὑπηρέταις. Sic Nubes v. 357. Socratem compellant, σύ τε, σεμνοτάτων λήρων ἱερεῦ.

276. ἀέναοι] R. Ia. ἀέννασι. male. ERN. Vide ad Eurip. Ion. 117.

278. εὐάγητον] Bentleius malebat εὐάγητοι vel εὐγάθητοι, L. Bos εὐάχητον, quo verbo utitur Eurip. Hippol. 1272. vel εὐάχητοι pro εὐήχητοι. Sed et Toup. Em. ad Suid. p. 305. εὐάγητοι praefert et comparat Iudae v. 12. ERN. Ego quidem non video, quare ab librorum lectione recedendum sit. Nam verba sic iungenda sunt, φανεραὶ δροσερὰν φύσιν εὐάγητον, quod quare fieri posse Bentleius neget, nullo pacto intelligo. Immo sic toti loco consulitur. Nam quid hoc est, ἀρθῶμεν φανεραί? Quorsum φανεραὶ addidit? Quo nihil profecto potest fingi languidius. Id enim per se intelligitur. De ipsa voce εὐάγητος eique cognatis vocabulis disseruit Hemsterhusius apud Musgravium in Lectt. Eurip. II. 6. sive in adnotationibus eius ad Suppl. 654. Dein nuper Elmsleius ad Eur. Bacch. 660. qui εὐάγητον idem quod λαμπρὸν esse putat. Mihi flexibilem potius et mobilem significare videtur: de qua re alio loco dicam.

279. βαρυαχέος] MS. L. et Suid. βαρυηχέος. ERN. Sic etiam Ven.

283. Vulgo legebatur, καρπούς τ' ἀρδομέναν θ' ἱερὰν χθόνα, quod miror Wolfio placuisse. Brunckius, quod in membr. copula post ἀρδομέναν non inveniretur, ita edidit: καρπούς τ' ἀλδομέναν ἱερὰν χθόνα. Cod. Bavar. χθόνα θ' ἱεράν. Ἀρδομέναν tamen non debebat mutari. Id enim interdum simpliciter nutrire significat, ut apud Pindarum Ol. V, 53. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει, ubi apte

ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας, ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν. 290

ΣΩΚΡΑΤΗΣ

ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι

---

commemoravit Heynius interpretes ad Eurip. Suppl. 207. Copulae sedes quum variet in libris, utrique in plerisque vocabulo adiecta, veri simillimum est post secundam vocem a poeta positam esse. Et sic dedit Reisigius. Rav. ἀρδομένην.

286. Nubium variae et commutabiles figurae quoniam tum demum maxime conspicuae sunt, quum pars caeli serena est, solem fulgere dicit chorus, iubetque ἀποσείσασθαι νέφος ὄμβριον, nubilam speciem, qua totum quum obductum est caelum, nullae distingui formae nubium possunt.

287. ἐν omittunt MS. L. Suid. male. ERN. Vulgo contra metrum μαρμαρέαισιν ἐν αὐγαῖς. Brunckius codicis B. quocum Venetus consentit, auctoritate ἐν delevit. Atque unus Regiorum, μαρμαραίησιν αὐγαῖς, unde formam Ionicam, μαρμαρέῃσιν, duci posse putat. Nos e duobus MSS. Regiis et Ravennate ac Borgiano μαρμαρέαις ἐν αὐγαῖς scribendum duximus, quae doctior lectio est.

288. νέφος ὄμβριον] L. Ia. ὄμβριμον νέφος. ERN.

289. Quid hoc est: ἀθανάταις ἰδέαις ἐπιδώμεθα τηλεσκόπῳ ὄμματι γαῖαν? In scholiis commemoratur alia lectio, ἀθανάτης ἰδέας, ut haec verba cum praecedentibus coniungenda sint. Idque etiam Reizio placebat, ac merito. Quin clare liber Ravennas ἀθανάτας ἰδέας exhibet. Ἰδέα de specie corporis dictum in Pluto v. 559. et a Pindaro Olymp. X. 122.

ἐπιδώμεθα] Sic dixit ἐπιδεῖν Lysias c. Poliuchum p. 321. ERN.

290. Vt in grandioris spiritus carmine, systema terminatur versu contrarii generis, ut mos est tragoediae.

291. καλέσαντος] Del. L. I. ERN.

293. Omissum γ' in Ven.

294. Ven. οὕτως γὰρ αὐτὰς τετραμμαίνω.

καὶ θέμις ἐστὶν, νυνὶ γ' ἤδη, καὶ μὴ θέμις ἐστὶ, χεσείω. 295

ΣΩΚΡΑΤΗΣ

οὐ μὴ σκώψεις, μηδὲ ποιήσεις ἅπερ οἱ τρυγοδαίμονες οὗτοι.
ἀλλ' εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

ΧΟΡΟΣ

παρθένοι ὀμβροφόροι, ἀντιστρ.
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος,
εὔανδρον γᾶν 300
Κέκροπος ὀψόμεναι πολυήρατον,
οὗ σέβας ἀῤῥήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα, 305
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοι τε θεῶν θυσίαι θαλίαι τε
παντοδαπαῖς ἐν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις, 310

---

295. νυνὶ] Ib. νῦν, et delet ἐστὶ, male: ERN. Rav. ἐστὶ νυνὶ γ'. Dobraeus de suis codd. obscurius scribit: „νῦν ἤδη 3. καὶ θέμις ἐστι χ. pro versu 4. Ita 6. καὶ θ. ἐστὶ χ. νυνὶ γ' ἤδη καὶ μὴ θ.“ Vereor ne aliquid turbatum sit in hoc versu. Languidius enim dictum νυνὶ γ' ἤδη, quum vel νῦν solum vel ἤδη satis esset. Apte diceretur νυνὶ γ' ὅτε δή. Vide ad Soph. Ai. 789.

296. Pro σκώψῃς et ποιήσῃς, quod libri habent, nominatim Ven. cum Brunckio e Dawesii observatione σκώψεις et ποιήσεις scripsi. Elmsleius ad Ach. 278. scribi voluit σκώψει. Sic Ach. 854. σκώψεται. Neque alibi habet futurum Aristophanes. Tum cod. Borg. ποιήσεις γ', quod defendi potest, ut sit *neque adeo facies*. Pro μηδὲ Ven. et Mut. primus οὐδέ.

299. 300. Ἐς addit R. v. 299. ἐσέλθωμεν, et v. 300. χθόνα ἐς, per glossam. ERN. Borgianus εὐχθόνα, Ravennas ἐς χθόνα, in quo verba Παλλάδος, εὔανδρον γᾶν, omissa sunt. Atque ἐς χθόνα etiam Venetus et aliquot alii libri.

306. Rav. ὑψηρεφεῖς.

307. Rav. Ven. πρόδομοι.

309. παντοδαπαῖς R. male. ERN. Ita etiam Rav. et quattuor Regii, quos Brunckius contulit. Vulgo παντοδαπαῖσιν.

εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤΡΕΨΙΑΔΗΣ

πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ Σώκρατες, αὗται
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινες εἰσίν;

ΣΩΚΡΑΤΗΣ

ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς· 315
αἵπερ γνώμην, καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσιν,
καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

ΣΤΡΕΨΙΑΔΗΣ

ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,

---

311. εὐκελάδων] Spectant haec ad choros fabularum scenicarum.

312. Μοῦσα βαρύβρομος αὐλῶν] *Gravem sonum edentes tibiae.* v. Salm. ad Vopisci Carin. ERN.

316. παρέχουσιν] Arbitror ν delendum. ERN. Id fecit Brunckius. Nobis aliter videtur. Nam etsi ultima horum versuum syllaba numeri lege brevis est, tamen ad id ipsum inventa est κατάληξις, ut debilitatis numeri viribus vox requiescat. Cui rei bene consulitur augenda in pronunciatione syllabae mora. Hoc semel dixisse satis est, ne idem repeti necesse sit, quoties in hoc genere nostra recensio a Brunckii atque aliorum consuetudine discrepat.

317. Κροῦσιν et κατάληψιν quid dicat, ipse optime declarat Aristophanes in Eq. 1379. ubi eiusmodi sophista vocatur κρουστικός, καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ. Scholiastes ibi: κρουστικός· τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων. καταληπτικός· προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥςτε θόρυβον μὴ κινῆσαι. In postremis, quae etiam apud Suidam leguntur, poterat interpres μὴ omittere. Nam θορυβεῖν quum assentientes applaudentesque dici soleant, is significari potest, qui dicendo ita corripiat et retineat audientes, ut plausu et clamoribus admirationem suam testentur.

318. τοῦτ'] MSS. R. L. edd. vett. ταῦτ'. Et sic cum Berglero reposuimus. Intell. *propterea.* male retulere ad φθέγμα. ERN. Ταῦτ' etiam Brunckius volebat e quattuor codd. quibus accedunt Rav. Ven. aliique.

πεπότηται] Arbitror, *gestit cupiditate.* ERN. Immo *commovetur.*

καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι·
320
ὥςτ', εἴπως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

ΣΩΚΡΑΤΗΣ

βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'. ἤδη γὰρ ὁρῶ κατιούσας
ἥσυχα ταύτας.

ΣΤΡΕΨΙΑΔΗΣ

φέρε, ποῦ; δεῖξον.

ΣΩΚΡΑΤΗΣ

χωροῦσ' αὗται πάνυ πολλαὶ
διὰ τῶν κοίλων καὶ τῶν δασέων, αὗται πλάγιαι.

---

319. E productione primae in καπνοῦ Porsonus in praef. ad Hec. p. 56. et in adnot. ad Med. 1314. colligebat, haec esse Euripidis verba, non lyrici alicuius, ut Reisigius in Coni. p. 161. refert. Si verum est, quod suspicabatur Porsonus, neque ridendae vanae grandiloquentiae caussa numeros tragicos consectatus est poeta, non in tragoedia, sed in fabula satyrica tale quid scribere potuit Euripides. Sed rectius de hoc genere statuit Reisigius.

320. γνωμιδίῳ γνώμην νύξασ'] Intelligi potest de illis Stoicorum consectariis: *si longus, levis; si gravis, brevis.* item, εἰ καλήν, ἕξεις κοινήν, ἢν αἰσχράν, ἕξεις ποινήν. respondet sententiolis alter similibus, εἰ καλήν, οὐχ ἕξω ποινήν, ἢν αἰσχράν, οὐχ ἕξω κοινήν. ERN. Pro νύξασ' in codd. Elbing. et Bav. μίξασ' est.

322. Vereor ne non sit verum, quod Welckerus p. 138. dixit, ex machinis descendisse Nubes in latere scenae. Fingit haec Aristophanes, nec videntur illae ante conspici, quam quum per aditum, unde chorum venire usitatum erat, in orchestram prodeunt. Monuit Porsonus in praef. ad Hec. p. 54.

323. ἥσυχ' αὐτάς] MS. R. ἥσυχος, I. ἡσύχως, male. At C. et ed. Ven. ἥσυχα ταύτης sc. Πάρνηθος, quod praefert Dukerus: et sic versus bene constat. ERN. Ἥσυχος et ἡσύχως αὐτὰς etiam in membranis a Brunckio collatis: postremum Ravennas quoque et Borgianus ac Venetus aliique habent. Sed recte Brunckius ex suo cod. et primariis edd. ἥσυχα ταύτας reposuit. Dindorfius edidit ἡσυχῇ αὐτάς, quam Elmsleii coniecturam esse coniicias ex iis, quae ille in addendis ad Eur. Heracl. 7. dixit. Minus hoc suave ad sonum.

324. Brunckius, non monito lectore, verba Socratis sine ulla interpunctione continuavit, et pro αὗται πλάγιαι scripsit αὐταὶ πλάγιαι. Si αὐταὶ requiri putabat, id non hic, sed in superiore versu, χωροῦσ'

ΣΤΡΕΨΙΑΔΗΣ

τί τὸ χρῆμα;

ὡς οὐ καθορῶ. 325

ΣΩΚΡΑΤΗΣ

παρὰ τὴν εἴςοδον.

ΣΤΡΕΨΙΑΔΗΣ

ἤδη νυνὶ μόλις οὕτως.

ΣΩΚΡΑΤΗΣ

νῦν γέ τοι ἤδη καθορᾷς αὐτάς, εἰ μὴ λημᾷς κολοκύνταις.

αὐταί, reponendum erat. At multo elegantius caeteri αὗται utrubique legunt. De distinctione autem post χωροῦσι iam scholiastes monuit. Reisigio tamen visum ita distinguere, χωροῦσ' αὗται, πάνυ πολλαί.

325. Caninius stellam praefixit huic versui, ut vitioso. Nam metrum non constat. Dukerus bene coniiciebat, post ἤδη, καὶ vel γὰρ excidisse, sed καὶ plane habent MSS. Vat. et Reg. Sed iidem pro ὁρῶ etiam ἀθρῶ, quod praefero cum Berglero, qui recepit. Nam quod Bentleius ait, comicis ἀθρεῖν non esse usitatum, fallitur. Occurrit apud nostrum in hac ipsa fabula v. 728. ERN. Pro παρὰ Ven. πρός. Non audiendi Bentleius et Dawesius: quorum Bentleius, summus alioqui criticus, sed nullius auctoritatis in Aristophane, ad quem minime imbutus Attici sermonis cognitione accessit, ἤδη νυνὶ μόλις ἑώρων corrigebat. Dawesii autem temeritas ἤδη νῦν μόλις ὁρῶ αὐτὰς excogitavit. Vulgo, ἤδη νῦν μόλις ὁρῶ. Atque ita etiam Borgianus, et unus Regiorum Brunckii, et Venetus aliique, nisi quod Venetus et plerique νυνὶ habent. Ravennas, ἤδη νῦν ὡς μόλις αὐτάς. Εἴςοδον libri omnes. Brunckius e coniectura: παρὰ τὴν ἔςοδον. διαθρῶ νυνὶ μόλις ἤδη. Id refutavit Porsonus in praef. ad Hec. p. 53. qui recte quidem iudicans antiquum hic vitium latere, audaciorem proposuit coniecturam: νυνὶ μάλ' ἀθρῶν βλέπε πρὸς τὴν εἴςοδον ἤδη. νῦν γέ τοι ἤδη καθορᾷς αὐτάς. Sed ut hoc vix erit qui probet, ita non magis persuadebit Reisigius verum esse, quod dedit, ἤδη καθορῶ μόλις αὐτάς, dubitans ille an non dicatur ἤδη νῦν. Vide eum in praef. p. 33. et in Coniect. p. 157. At νῦν ἤδη est *nunc iam*, ἤδη νῦν *iam tandem*. Aeschylus Agam. 1587. φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη. Dindorfius et Bekkerus ediderunt, ἤδη νυνὶ μόλις οὕτως, quae est libri Rav. scriptura, nisi quod is νῦν habet. Id est: *iam tandem sic paullum video.*

326. κολοκύνταις] MS. Arundel. κολοκύντας, quod et ipsum rectum. Sed vulgatum firmat App. Vat. C. I. n. 36. ERN. Vide schol. Hesiod. Ἔργ. 280. et schol. Aristid. Frommelii p. 344. Νῦν γέ τοι omittit Rav.

ΣΤΡΕΨΙΑΔΗΣ

νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατέχουσιν.

ΣΩΚΡΑΤΗΣ

ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης, οὐδ' ἐνόμιζες.

ΣΤΡΕΨΙΑΔΗΣ

μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ
καπνὸν εἶναι.

ΣΩΚΡΑΤΗΣ

οὐ γάρ, μὰ Δί', ἀλλ' ἴσθ' ὅτι πλείστους αὗται βόσκουσι
σοφιστάς· 330

Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας

---

328. Brunckius e suo cod. pro ᾔδεις reposuit Atticam formam ᾔδης, delevitque cum edd. vett. signum interrogandi in fine versus, quod revocavit Reisigius. *Μέντοι* est *nimirum.*

329. σκιὰν] L. Ia. καπνόν. ERN. Est hoc etiam in Brunckii duobus Regiis, qui id ineptae coniecturae Dawesii δάσκιον pro καὶ σκιὰν praetulit. Ravennas et Borg. vulgatum σκιὰν habent. Proverbium καπνὸν εἶναι ἡγούμην Suidas memorat in v. ἀμενηνὸς et καπνοῦ σκιά.

330. Memorabilis lectio unius Regiorum, cui duo alii codd. accedunt, οὐ γάρ, μὰ Δί', ἀλλ' ἴσθ' ὅτι, cum glossa, γίνωσκε. Praefert tamen Brunckius vulgatam. Mihi aliter videtur. Nam non solum doctior longe haec lectio est, quam vulgata, οὐ γὰρ μὰ Δί', οἶσθ' ὁτιή, quae inde orta est, quod, quum ἀλλὰ excidisset, metri caussa οἶσθ' ὁτιὴ scribendum erat: sed maior etiam in ea vis atque elegantia inest. Quantumvis enim imperiti Strepsiadae contemptum voce et gestu Socrates exprimat, quum haec dicit, οὐ γάρ, μὰ Δί', οἶσθ' ὁτιή, hoc solum tamen significat, Strepsiaden, ut hominem rusticum, ea ignorare, quae sapientibus scilicet nota sint. Atqui quod deinde addit, non est eiusmodi, ut id sciant doctiores, sed plane inauditum est. Quod si dicit, οὐ γάρ, μὰ Δί', ἀλλ' ἴσθ' ὅτι, praeter miserationem imperiti rustici, et grave supercilium doctoris, etiam rem omnem tamquam placitum sibi uni proprium profert, simulque spectatorum animos excitat ad percipiendam rem prorsus novam. Idque hoc aptius facit, quod ea, quae dicit, ad irridendos alios comparata sunt. De οὐ γὰρ ἀλλὰ vide ad v. 233.

331. Θουριομάντεις dicit propter Lamponem, quo duce deducta colonia Thurium Ol. LXXXIV. 1. quem perstringit etiam in Avibus, ubi v. schol. ad v. 521. 989. De ea colonia conf. Diod. Sic. XII. 10. Taylor. ad vitam Lysiae p. 106. ed. Reisk.

332. Ven. ᾀσματοκάμπας. In Brunckiana et aliis edd. male posita est maior interpunctio post μετεωροφένακας, quo oratio in-

εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύτεσθε πρόχοισιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ', ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε, δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι. 275

---

271. Ven. omittit ἱεραῖς.

272. χορὸν ἵστατε] v. Kust. ad Plut. 761. ubi docet esse *saltare in orbem*. ERN. Porsonus apud Dobraeum scribendum iudicavit ἱερὸν χορὸν ἵστατε, νύμφαι. Videtur haec appellatio paullo languidior esse, ut, si νύμφαι scripserit Aristophanes, malis id eum nulla ante posita distinctione dixisse, ut esset νύμφαι οὖσαι, quo significaret, quae Oceani filiae nymphae perhiberentur, ipsas esse Nubes. Sed nihil videtur esse, cur librorum scripturam omnium mutemus, modo ne νύμφαις, quod est in gratiam et honorem nympharum, quae sunt in hortis patris Oceani, pro σὺν νύμφαις dictum putetur.

273. προχοαῖς] Ven. προχοάς.

χρυσέοις ἀρύεσθε πρόχουσιν] Primo Bentleius vult scribi χρυσοῖς. Saltem contracte legendum, etsi non necesse sit scribi, quamquam magis Atticum. Sed Thomas M. habet χρυσέαις, quod firmant MSS. nostri R. L. et loca de verbo πρόχουσι allata omnia habent femininum. ERN. Tres Codd. Reg. Brunckii et Ven. χρυσέαις. Ravennas χρύσαις. Brunckius Ionicam formam, χρυσέῃς, posuit ex Thoma Magistro in χοή.

ἀρύεσθε] Suid. ἀρύτεσθε, quod, ut magis Atticum, probat Bentleius. ERN. Hoc recepimus cum Brunckio, restitutum iam a Koenio ad Gregor. Cor. p. 29. Libri MSS. omnes ἀρύεσθε. Vide Porson. ad Phoen. 463.

πρόχουσιν] R. πρόχοις. I. L. πρόχοισιν. ERN. Vnus Regiorum Brunckii προχόῃσιν. Ravennas, Venetus, Borgianus προχόοισιν. Brunckius cum plerisque edd. πρόχουσιν reliquit, formam dativi inauditam. Itaque πρόχοισιν restituimus. Vide ad Eurip. Ion. 449.

275. Huic versiculo stellam addidit Caninius. Vir doctus in exemplo meo Canin. adscripsit ὑπακούσατε. Sic MS. R. ERN. Ravennas οὐπακουσατε. Ven. ὑπακούσατε.

χαρεῖσαι] MSS. R. L. φανεῖσαι: quam lectionem etiam memorant scholia. ERN. Φανεῖσαι etiam in uno Regiorum Brunckii est, cum glossa, παραγενόμεναι. Ven. ἱεροῖς φανεῖσαι. Illud φανεῖσαι, quod in aliquot codd. invenitur, pertinet ad hanc scripturam, τοῖς

ἀγριόν τινα τῶν λασίων τούτων, οἷόν περ τὸν Ξενοφάντου,
σκώπτουσαι τὴν μανίαν αὐτοῦ Κενταύροις ᾔκασαν αὐτάς.

ΣΤΡΕΨΙΑΔΗΣ

τί γάρ, ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα, τί δρῶσιν; 350

ΣΩΚΡΑΤΗΣ

ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ, λύκοι ἐξαίφνης ἐγένοντο.

ΣΤΡΕΨΙΑΔΗΣ

ταῦτ᾽ ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι.
ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ᾽ ἐγένοντο.

ἴδωσι κομήτην. ERN. Vulgo, γίνονται πάνθ᾽ ὅ τι ἂν βούλωνται· sic etiam Rav. nisi quod βούλονται habet. κἂν μὲν ἴδωσι κομήτην. Cod. Ven. πάνθ᾽ ὅσα. Brunckii membranae, πάνθ᾽ ὅ τι βούλονται, eaedemque et C. D. κᾆτ᾽ ἢν μὲν ἴδωσι κομήτην. Vnde ille reposuit, γίγνονται πάνθ᾽ ὅ τι βούλονται· κᾆτ᾽ ἢν μὲν ἴδωσι κομήτην, quod deinde plane invenit in alio Regio, nisi quod κᾆτα in eo non elisam habebat ultimam. Brunckianam lectionem etiam Ravennas habet, nisi quod in eo ὅ τι ἂν est. Borgianus cum vulgata consentit, praeterquam quod ὅτ᾽ ἂν habet. Bav. καὶ τ᾽ ἢν. Ald. et edd. vett. κᾆτ᾽ ἢν. Cod. Ven. κᾆτ᾽ εἰ. Scribendum videtur aut πᾶν ὅ τι, aut πάνθ᾽ ὅσα, quod ex Veneto recepi.

348. Ven. Ξενοφῶντα.

349. εἴκασαν] R. ᾔκασαν. ERN. Ita e membranis recte Brunckius, quod hoc Atticum est.

350. Pro τί γάρ; Brunckius τί δ᾽ ἄρ᾽; e coniectura reposuit. Vide quae notavimus ad v. 192.

351. Pro φύσιν in C. est γνώμην.

352. ταῦτα] L. καί, Ia. delet. ERN. Codicum quidam ταῦτ᾽ ἄρα καὶ Κλεώνυμον, alii ταῦτ᾽ ἄρα ταῦτα καὶ Κλεώνυμον. Dobraeus, felicissime, inquit Porsonus ταῦτ᾽ ἄρα καὶ Κολακώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι, collato loco Vesp. 590. χὡ μέγας οὗτος Κολακώνυμος ἀσπιδαποβλής. Immo infelicissimam eam coniecturam esse, facile vidisset vir egregius, nisi Porsoni tanta apud eum auctoritas fuisset, ut quaerere omiserit, quid in Nubium loco debuisset, in Vesparum potuisset dici. In eamdem tamen sententiam incidit etiam Reisigius Coni. p. 173. nisi quod in secunda editione restitutum esse Cleonymi nomen censuit.

354. Sequutus sum codd. Rav. et Ven. Vulgo deest γ᾽. Praesentem in theatro Clisthenem vel monstrat vel circumspicere iubet.

ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας, ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν. 290

ΣΩΚΡΑΤΗΣ

ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος
ἤσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι

---

commemoravit Heynius interpretes ad Eurip. Suppl. 207. Copulae sedes quum variet in libris, utrique in plerisque vocabulo adiecta, veri simillimum est post secundam vocem a poeta positam esse. Et sic dedit Reisigius. Rav. ἀρδομένην.

286. Nubium variae et commutabiles figurae quoniam tum demum maxime conspicuae sunt, quum pars caeli serena est, solem fulgere dicit chorus, iubetque ἀποσείσασθαι νέφος ὄμβριον, nubilam speciem, qua totum quum obductum est caelum, nullae distingui formae nubium possunt.

287. ἐν omittunt MS. L. Suid. male. ERN. Vulgo contra metrum μαρμαρέαισιν ἐν αὐγαῖς. Brunckius codicis B. quocum Venetus consentit, auctoritate ἐν delevit. Atque unus Regiorum, μαρμαραίῃσιν αὐγαῖς, unde formam Ionicam, μαρμαρέῃσιν, duci posse putat. Nos e duobus MSS. Regiis et Ravennate ac Borgiano μαρμαρέαις ἐν αὐγαῖς scribendum duximus, quae doctior lectio est.

288. νέφος ὄμβριον] L. Ia. ὄμβριμον νέφος. ERN.

594. 595. In Ravennate scriptum, παγχρύσεον οἶκον, omisso ἔχεις, si fides Invernizio. De omisso ἔχεις nihil Bekkerus.

595. κόραι Λυδῶν] Nempe Ephesus olim Lydiae urbs. v. Steph. in Ἔφεσος. v. et Rutgers. V. L. II. 1. ERN.

598. πολιοῦχος Ἀθάνα] v. Hemsterh. Plut. 260. 261. ERN.

599. Παρνασσίαν pro vulgato Παρνασίαν recte Rav.

600. Ven. πεύκῃς. Σελαγεῖς est in Borgiano Mut. a. aliisque. Idque volebat Brunckius, sed retractavit sententiam in addendis. Σελαγεῖ enim medium esse, ut v. 286. et Acharn. 924.

Βάκχαις Δελφίσιν ἐμπρέπων,
κωμάστης Διόνυσος.

ΧΟΡΟΣ ἀντεπιῤῥ.

Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
ἡ Σελήνη συντυχοῦσ' ἡμῖν ἐπέστειλεν φράσαι,
πρῶτα μὲν χαίρειν Ἀθηναίοισι καὶ τοῖς ξυμμάχοις· 605
εἶτα θυμαίνειν ἔφασκε· δεινὰ γὰρ πεπονθέναι,
ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς·
πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον ἢ δραχμήν,
ὥστε καὶ λέγειν ἅπαντας, ἐξιόντας ἑσπέρας·
μὴ πρίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶς σεληναῖον καλόν. 610

---

601. *Βάκχαις Δελφίσιν*] Sic Eurip. Ion. 551. *Δελφίδας κόρας* dixit, et alibi *Δελφίδα πέτραν* in Bacchis. ERN. Versu 306. *κἀπὶ Δελφίσιν πέτραις*.

602. *Κωμαστὴς Διόνυσος*] Sic dicitur ab Orgiis et saltationibus Bacchicis. *Κωμάζειν* dicitur de pompis sacris. *Κῶμος* est ap. Eurip. Phoen. 797. ubi de Baccho sermó, estque *εἶδος ὀρχήσεως*, ut recte scholia. cf. Hesych. in h. v. et adde Wesseling. ad Diodor. III. p. 145. ERN.

604. Edidimus *ἐπέστειλεν*, quod ante *β*, *π*, *φ*, et alia amant Graeci. Male vulgo et contra morem Atticorum poetarum producta propter duplicem consonam syllaba, *ἐπέστειλε*.

606. Rav. *ἔφασκεν*.

607. Ven. *ἡμᾶς*.

608. *δραχμήν*] L. Ia. *δραχμῆς*. ERN. Ravennas, *πρῶτα μὲν οὖν τοῦ μηνός*, secundum Invernizium.

610. *πρίω*] L. *πρίον*. C. Ib. *πρίῃ*. Ia. Ib. *σεληναῖον*. ERN. Ravennas, Ven. Dorv. Barocc. 127. et Elbing. et alii codd. cum Ald. et aliis edd. *πρίῃ*. Schol. ad Acharn. 34. *πρίω* pro *πρίασο* Acharnensium proprium dicit. Id hic fortasse ex *ὦ* ad *παῖ* adiecto ortum, siquidem in Mut. c. est *πρί' ὦ*. Recepi coniunctivum, qui huic loco rectius quam imperativus convenit. Vide quae in diss. de praeceptis quibusdam Atticistarum de his vetandi modis dixi. Pro *ἐπειδὴ* Ven. *ἐπεί*. *Σεληναίῃ* vehementer dubito an Athenienses pro *σελήνῃ* in communi sermone non dixerint, etsi Eustathius p. 84, 7. (63, 13.) id ipsum ut comprobet, verba haec *ἐπειδὴ φῶς σεληναίης καλὸν* affert. Codd. nonnulli *σεληναίας*. Quod ex Ia. Ib. iam olim reposui, *σεληναῖον*, eo magis tenendum duxi, quia litteris non ambiguis scriptum est in tertio Dobraei, qui liber saepe optimas lectiones exhibet. Quod hic *φῶς σεληναῖον*, alibi dicitur *τὸ σελήνιον*. Athenaeus VII. 1. p. 276. D. *εὐσηπτότερα γοῦν τὰ νύκτωρ θυόμενα*

ἄλλα τ' εὖ δρᾶν φησίν· ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας
οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν.
ὥςτ' ἀπειλεῖν φησὶν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
ἡνίκ' ἂν ψευσθῶσι δεῖπνου, κἀπίωσιν οἴκαδε,
τῆς ἑορτῆς μὴ τυχόντες κατὰ λόγον τῶν ἡμερῶν. 615
κᾆθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
ἡνίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον', ἢ Σαρπηδόνα,
σπένδεθ' ὑμεῖς καὶ γελᾶτ'· ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν 620
τὸν στέφανον ἀφῃρέθη· μᾶλλον γὰρ οὕτως εἴσεται
κατὰ Σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

ΣΩΚΡΑΤΗΣ. ΣΤΡΕΨΙΑΔΗΣ. ΧΟΡΟΣ.

ΣΩΚΡΑΤΗΣ

Μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα,
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
οὐδ' ἄπορον, οὐδὲ σκαιόν, οὐδ' ἐπιλήσμονα· 625

τῶν ἱερείων, καὶ τῶν ξύλων τὰ πρὸς τὸ σελήνιον κοπτόμενα, καὶ τῶν καρπῶν δὲ οἱ πλεῖστοι πρὸς τὸ σελήνιον πεπαίνονται.

611. φησὶν ὑμᾶς, κοὐκ] Correxi dudum φησίν, ὑμᾶς δ' οὐκ. Sed id iam occupavit Bentleius. ERN. Recepit etiam Brunckius. Et accedit aliquid firmamenti ex scholio in quinto Dobraei ab alia manu adscripto, ὑμᾶς δὲ οὐκ. Sed libri omnes κοὐκ. Caeterum quae hic dicuntur non videtur dubitari posse quin pertineant ad ea, quae in diebus festis et sacris novari debuerunt, ex quo a Metone emendata fuerat ratio temporum, quod factum est Ol. LXXXVII. 1.

618. Hunc versum omittit Rav.

622. Formula est e lege Solonis, qui iussit ἡμέρας ἄγειν κατὰ Σελήνην. Diog. Laert. I. 59. Gemin. Isag. c. 6. Quomodo Kalendarium turbatum apud Athenienses, varie disputant Scaliger et alii (v. Spanh. ad h. l.) sed nihil extricant. ERN. Vide Ideleri Manuale chronologiae vol. I. p. 266. seqq.

623. Χάος non materiae rudem indigestamque molem, sed vastum atque inane spatium dicit. V. diss. de antiquissima Graecorum mythologia. Pro Ἀέρα scholiastes ad Ran. 919. Αἰθέρα, quod probabat Porsonus.

624. Ravennas ἄνδρα γ' ἄγροικον. Tum Ven. οὐδαμοῦ.

ὅςτις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
ταῦτ' ἐπιλέληςται πρὶν μαθεῖν· ὅμως γε μὴν
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.
ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις. 630

ΣΩΚΡΑΤΗΣ

ἀνύσας τι κατάθου, καὶ πρόςεχε τὸν νοῦν.

ΣΤΡΕΨΙΑΔΗΣ

ἰδού·

ΣΩΚΡΑΤΗΣ

ἄγε δή, τί βούλει πρῶτα νυνὶ μανθάνειν,
ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
πότερον περὶ μέτρων, ἢ ῥυθμῶν, ἢ περὶ ἐπῶν;

ΣΤΡΕΨΙΑΔΗΣ

περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχος γάρ ποτε 635
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.

ΣΩΚΡΑΤΗΣ

οὐ τοῦτ' ἐρωτῶ σ'; ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ, πότερον τὸ τρίμετρον, ἢ τὸ τετράμετρον;

ΣΤΡΕΨΙΑΔΗΣ

ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.

---

628. πρὸς τὸ φῶς] Satirice dictum in scholam Socratis, ut in antrum ferarum. ERN. Minime. Apte Berglerus Timoclis versus apud Athen. VI. p. 245. B. attulit: ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς ὦμεν καταφανεῖς μᾶλλον.

633. In lib. Rav. vocabulum οὐδέν Strepsiadi tributum.

634. πότερα] L. Ia. πότερον. mox R. ῥυθμῶν ἢ ἐπῶν. ERN. Vulgo sic legitur: πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν; πότερον etiam Rav. et alii. Omittit eam vocem Dobraei sextus. Ven. et primus Dobraei ἢ ἐπῶν ἢ ῥυθμῶν. Membranae Brunckii cum aliquot aliis ῥυθμῶν ἢ ἐπῶν. Vulgata displicet propter ictus metricos, qui et insuaves sunt in ultima praepositionis, et faciunt ut nomina in recitando obscurentur. Debebant enim in primam praepositionis syllabam incidere. Si plures libri quam ille Dobraei codex πότερον omitterent, facile adducerer ut hanc putarem veram scripturam esse, περὶ ῥυθμῶν, ἢ περὶ μέτρων, ἢ περὶ ἐπῶν. Sed ut in re dubia servare malui, quod habet liber Ravennas.

638. Πότερα unus Dobraei codicum et Brunckius.

ΣΩΚΡΑΤΗΣ

οὐδὲν λέγεις, ὦ 'νθρωπε.

ΣΤΡΕΨΙΑΔΗΣ

περίδου νῦν ἐμοί, 640

εἰ μὴ τετράμετρόν ἐστιν, ἡμιεκτέον.

ΣΩΚΡΑΤΗΣ

ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυςμαθής.

ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.

ΣΤΡΕΨΙΑΔΗΣ

τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;

ΣΩΚΡΑΤΗΣ

πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ, 645

ἐπαΐονθ' ὁποῖός ἐστι τῶν ῥυθμῶν

κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.

ΣΤΡΕΨΙΑΔΗΣ

κατὰ δάκτυλον; νὴ τὸν Δί', ἀλλ' οἶδ'.

ΣΩΚΡΑΤΗΣ

εἰπὲ δή.

---

640. περίδου] Grammatici veteres omnes, Etym. M. Suid. Photius hinc citant περιδοῦ. ERN. Recte Brunckius hanc scripturam improbat, docetque περίδου non a περιδέω, sed a περιδίδωμι formatum, ut ἀπόδου in Ranis 1235. Verba περίδου νῦν ἐμοὶ Etym. M. p. 663, 50. attulit.

641. Vulgo, εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτεόν. At id vel εἰ μὴ τὸ τετράμετρον, ut est in Mut. a. vel ἐστι θἠμιεκτέον dicendum fuisset. Apud Suidam v. περίδου est ἡμιεκταίου. Et ἡμιεκτέον, quod restituendum vidit Porsonus, exstat in Ven. Mut. a. b. aliisque.

643. Legebatur μανθάνειν σὺ περὶ ῥυθμῶν. Σύ, a metricis prosodiae male gnaris insertum, sustulit Brunckius. Atque id omittit etiam Ravennas, et, ut videtur, Venetus.

645. Venetus σοφόν.

646. Ravennas ἐπαΐοντ' pro vulgato εἶτ' ἐπαΐειν, quod habet etiam Ven. Scripsi cum Bekkero ἐπαΐονθ', hac potissimum motus ratione, quod ea Atticis usitata mensura est: vide Vesp. 516. Aeschylus Suppl. post v. 766. ex codd. οὐδὲν ἐπαΐοντες. Soph. Ai. 1263. Mutasse videntur grammatici, Homeri prosodiae adsueti, quod πρῶτον requirere aliam partem sententiae putarent. Corripiunt primam Attici in iis metris, quae ad heroici versus exemplum sunt formata.

647. κατ' ἐνόπλιον] Vid. Eustath. ad Od. φ, 1899. 62. ERN.

ΣΤΡΕΨΙΑΔΗΣ

τίς ἄλλος ἀντὶ τουτουΐ τοῦ δακτύλου;
πρὸ τοῦ μέν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί. 650

ΣΩΚΡΑΤΗΣ

ἀγρεῖος εἶ καὶ σκαιός.

ΣΤΡΕΨΙΑΔΗΣ

οὐ γάρ, ὦ'ζυρέ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.

ΣΩΚΡΑΤΗΣ

τί δαί;

ΣΤΡΕΨΙΑΔΗΣ

ἐκεῖν', ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.

ΣΩΚΡΑΤΗΣ

ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτων μανθάνειν,
τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄῤῥενα. 655

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ' οἶδ' ἔγωγε τἄῤῥεν', εἰ μὴ μαίνομαι·

---

649. τίς ἄλλος etc.] Dukerus se nec poetae sententiam nec expositionem scholiorum intelligere fatetur. Mox τουτουΐ νῦν δακτύλου Bentleius, et intelligit de *digito indice*, quoniam de *medio* v. seq. ERN. Vnum ex digitis ostendit: sed mox porrigit digitum infamem, significans penem pueri eo nomine appellari.

650. προτοῦ] L. Ia. πρῶτον. Post ἔτ' omittit R. ERN. Pro ἔτ' in Elbing. ὅτ' est. Omittunt ἔτ' etiam Mut. a. et tertius Dobraei, in quo est ὄντως, congruens illud cum ἔπ', quod pro ἔτ' in Rav. Ven. Barocc. 127. est. Πρῶτον etiam Ravennas.

651. ἀχρεῖος] Suid. ἀγρεῖος, quod placet Kustero. ERN. Ἀγρεῖος recte recepit Brunckius e membr. quibus accedunt Ravennas et alii. B. ἀρχεῖος, e quo ἀρχαῖος olim scriptum videri posse putat Brunckius. Elbing. ἀχροῖος. Ἀγρεῖος est etiam in Thesm. 160.

652. τί δέ;] R. τί δαί; bene. ERN. Probavit etiam Brunckius τί δαί, repertum in membr. et aliis codd. In Rav. est τί δή; In Ven. omissum οὐδέν.

654. πρότερα τούτου] C. Ib. πρὸ τούτου, quod versum destruit. Ia. τούτων. ERN. Τούτων etiam Ravennas et alii habent, quod recipiendum putavi. Τούτου enim librariorum curiositati deberi videtur. Plurali quum utitur, tantas tamque difficiles intelligit res, quam fraudulenta illa oratio est. Ven. πρότερα τούτου δεῖ σε.

655. Ven. ἅτ'.

κριός, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.

ΣΩΚΡΑΤΗΣ

ὁρᾷς, ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα, καὶ ταὐτὸ καὶ τὸν ἄῤῥενα.

ΣΤΡΕΨΙΑΔΗΣ

πῶς δή, φέρ'; 660

ΣΩΚΡΑΤΗΣ

ὅπως, ἀλεκτρυὼν κἀλεκτρυών.

ΣΤΡΕΨΙΑΔΗΣ

νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;

ΣΩΚΡΑΤΗΣ

ἀλεκτρύαιναν· τὸν δ' ἕτερον, ἀλέκτορα.

---

657. τράγος, ταῦρος] R. I. inverso ordine. ERN. Etiam Rav.

658. Ravennas, Ven. ὃ πάσχεις.

659. I. ταὐτόν. ERN. Etiam alii codd. κατὰ ταυτόν. Vulgo κατὰ ταυτό. Qua in scriptura subiectus tribracho anapaestus offensioni est, de quo dixi in Elem. d. metr. p. 130. seqq. Adde Dobraeum in Aristophan. p. (111.) seqq. Elmsleius in censura Hecubae Porsonianae p. 67. sive p. 249. ed. Lips. non habebat medelam in promptu. In censura meae Euripidis Supplicum editionis p. 437. (246. ed. Lips.) Porsoni inventum attulit ἀλεκτρυῶ, idque ut ratum posuit ad Med. v. 398. De ea forma infra dicam ad v. 1431. Sed codd. Harl. et Barocc. 127. apud Porsonum habent καταυτό: in Barocc. tamen τα suprascriptum. Ego quidem, quum Dorvillianus praebeat κἆτ' αὐτὸ, id ipsum emendate scriptum reposui. In fine huius versus Rav. ex praecedentibus iterat ἀλλ' οἶδ' ἔγωγε τἄῤῥενα.

660. Hic versus in MSS. et edd. sic legitur: ΣΤΡ. πῶς δή; φέρε. ΣΩ. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών. Quod iam olim reposui, φέρ'. ὅπως, adscriptum est etiam a Porsono, confirmatumque sexto Dobraei, in quo clare scriptum ὅπως. Postrema Reizius ita corrigebat, ὡ'λεκτρυὼν χἠλεκτρυών. Recte id quidem, si in praecedente versu legitur κατὰ ταυτό. Sed quum hodie sciamus et ὁ et ἡ sequente α in ἇ contrahi, distingui non possent ἇ'λεκτρυὼν χἀλεκτρυών, nisi aut ἇ ex ὁ ἀ conflatum aliter quam natum ex ἡ ἀ sonuisse, aut Socratem distincte ὁ ἀλεκτρυὼν χἡ ἀλεκτρυὼν pronunciasse statueremus. Nunc vero reposito καὶ ταὐτὸ recte se habere patet librorum scripturam ἀλεκτρυὼν κἀλεκτρυών. Elmsleium non satis intelligo, qui ad Medeae v. 1103. totum versum Strepsiadi tribuendum censebat, scriptum hoc modo: πῶς δή; φέρε, πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλεκτρύαιναν; εὖ γε, νὴ τὸν Ἀέρα·
ὥςτ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον. 665

ΣΩΚΡΑΤΗΣ

ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον. τὴν κάρδοπον
ἄῤῥενα καλεῖς, θήλειαν οὖσαν.

ΣΤΡΕΨΙΑΔΗΣ

τῷ τρόπῳ
ἄῤῥενα καλῶ 'γώ, κάρδοπον;

ΣΩΚΡΑΤΗΣ

μάλιστά γε·
ὥςπερ γε καὶ Κλεώνυμον.

ΣΤΡΕΨΙΑΔΗΣ

πῶς δή, φράσον.

ΣΩΚΡΑΤΗΣ

ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ. 670

---

662. ἀλεκτρύαιναν] V. Eustath. p. 1479. ERN.

664. τούτου] C. τουτουί. ERN.

668. Duo Regii cum vulgatis, ἄῤῥενα καλῶ 'γὼ κάρδοπον. Sed A. C. Harl. Barocc. 127. Dorvill. Mut. a. ἄῤῥενα καλῶ 'γὼ τὴν κάρδοπον. Vnde dubitat Brunckius an praestet, ἄῤῥενα καλῶ τὴν κάρδοπον; Et profecto, si subiectum enunciationis est κάρδοπον, necessarius est articulus. Sed quum ἐγώ, quod miranti apprime convenit, libris firmatum sit omnibus, non emendanda, sed explicanda est haec ratio dicendi. Scilicet subiectum est αὐτήν, quod intelligendum ex praecedentibus, praedicata autem ἄῤῥενα et κάρδοπον. Nam sensus est: τῷ τρόπῳ ἄῤῥενα καλῶ ἐγὼ αὐτήν, κάρδοπον λέγων.

669. Omittunt γε. Rav. Ven. aliique codd.

670. In MSS. C. Ib. aliter personae ordinantur. Nam v. hic refertur ad Strepsiadem, ut sit scilicet continuatio praecedentium verborum: πῶς δή, φράσον, et v. 671. 672. tribuitur Socrati, 673. rursus Strepsiadi ad verbum καλεῖν. Et nobis ordo vulgatus personarum dudum suspectus fuit. Itaque hanc rationem secuti sumus. ERN. Retinenda vulgata personarum distributio. Nam si versus 670. cum praecedentibus verbis continuaretur, non modo responsio Socratis ad id, quod interrogaret Strepsiades, nulla esset, sed etiam, si versus 671. 672. Socrati tribuerentur, hic Strepsiade, non se digna, diceret. In eo enim lepor huius loci inest, quod insulsus

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ', ὦ 'γάθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ,
ἀλλ' ἐν θυείᾳ στρογγύλῃ γ' ἀνεμάττετο.
ἀτὰρ τολοιπὸν πῶς με χρὴ καλεῖν;

ΣΩΚΡΑΤΗΣ

ὅπως;
τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην

ΣΤΡΕΨΙΑΔΗΣ

τὴν καρδόπην; θήλειαν;

ΣΩΚΡΑΤΗΣ

ὀρθῶς γὰρ λέγεις. 675

ΣΤΡΕΨΙΑΔΗΣ

ἐκεῖνο δ' ἦν ἂν καρδόπη, Κλεωνύμη.

---

homo, Strepsiades, verba ταυτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ, male intellecta, sic accipit, quasi Socrates Cleonymum mactram vocasset. Itaque tantum abest, inquit, ut ille mactra sit, ut ne habeat quidem mactram.

672. Rav. θυίαι. In Ven. omissum γ'. Illa particula hic *adeo* significat, quae eo facilius post adiectivum collocari potuit, quia θυεία στρογγύλη quasi pro una voce sunt.

675. Vulgo, τὴν καρδόπην θήλειαν ὀρθότερον λέγεις. Sed longe exquisitiorem et elegantiorem lectionem servarunt, etsi non adscripto nomine Socratis, Ravennas et Venetus, τὴν καρδόπην θήλειαν. ὀρθῶς γὰρ λέγεις, quam praefixo postremis verbis Socratis nomine reposuimus. Ac languet sane ὀρθότερον. Non enim tam liberalis fingitur Socrates, ut κάρδοπον ferri posse censeat, sed severitate ea, quae philosophum decet, unice rectum esse καρδόπην dictitat. Recepit hoc etiam Reisigius, sed ut Socrati tribueret θήλειαν ὀρθῶς γὰρ λέγεις. At ita inutile est θήλειαν, nec placet particulae γὰρ collocatio. Sed θήλειαν ne etiam a Strepsiade dictum redundaret, distinxi verba eius in duas sententias.

677. δήγε] Δή Ia. ERN. In editis hic versus sic legitur,

ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ.

Equidem quum in ordine harum particularum et significatione, tum in eo haereo, quod nulla earum haec verba cum superioribus aliquo certe modo connectit. Turbatam huius versus lectionem esse, varietas scripturae in codicibus ostendit, ἔτι δὴ περὶ τῶν, quod est etiam in Ravennate et Veneto; ἔτι γε περὶ τῶν, ἔτ' ἔτι περὶ τῶν, ἔτ' ἔτι γε περὶ τῶν, ἔτι δὴ περί γε τῶν, ἔτι δή γε περὶ τῶν, ἔτι δή γε περί τε τῶν. Vulgatam tuebatur Reisigius in Coni. p. 230. sed quae ille de particulis δή γε disputavit, nec firma omnia sunt, neque ad hunc locum quidquam faciunt. Illud ego miror, quod

ΣΩΚΡΑΤΗΣ

ἔτι δὴ δὲ περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
ἅττ' ἄῤῥεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ' οἶδ' ἔγωγ', ἃ θήλε' ἐστίν.

ΣΩΚΡΑΤΗΣ

εἰπὲ δή.

ΣΤΡΕΨΙΑΔΗΣ

Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία. 680

ΣΩΚΡΑΤΗΣ

ἄῤῥενα δὲ ποῖα τῶν ὀνομάτων;

ΣΤΡΕΨΙΑΔΗΣ

μυρία.

Φιλόξενος, Μελησίας, Ἀμυνίας.

ΣΩΚΡΑΤΗΣ

ἀλλ', ὦ πόνηρε, ταῦτά γ' ἔστ' οὐκ ἄῤῥενα.

ΣΤΡΕΨΙΑΔΗΣ

οὐκ ἄῤῥεν' ἐν ὑμῖν ἐστίν;

ΣΩΚΡΑΤΗΣ

οὐδαμῶς γ', ἐπεὶ
πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ; 685

---

quum paullo ante de particulis δὴ δὲ dissereret, p. 228. non hic quoque ἔτι δὴ δὲ reponendum censuit, praesertim quum etiam in Eccles. 195. nonnulli libri perperam δή γε pro δὴ δὲ scriptum habeant. Id igitur reposui.

678. Ven. ἅττ' ἄρ' αὐτῶι.

680. Ven. Φίνιλλα.

682. Ven. Ἀμεινίας, supra scripto υ.

683. Rav. ἔστιν.

ἔστ' οὐκ] οὐκ ἔστ' Ib. quod lenius videtur. ERN.

684. R. οὐκ ἄῤῥεν' ἡμῖν. I. C. ἄῤῥεν' ἐν ὑμῖν. ERN. Id cum Brunckio recepimus, inventum illi in quattuor codd. quibus accedunt aliquot alii. Rav. et Ven. ut Ernestii R. Alterum praeferebat Reisigius in Coni. p. 25. Item Elmsleius in Auctar. ad Acharn. 178. p. 119. Pauci codd. omittunt γ'.

685. Ravennas πῶς γ' ἂν solus, quod sciam, nec male, etsi aliter sentiebat Elmsleius ad Med. 1334. not. f. XIX.

ΣΤΡΕΨΙΑΔΗΣ

ὅπως ἄν; ὡδί, δεῦρο, δεῦρ', Ἀμυνία.

ΣΩΚΡΑΤΗΣ

ὁρᾷς; γυναῖκα τὴν Ἀμυνίαν καλεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ

οὔκουν δικαίως, ἥτις οὐ στρατεύεται;
ἀτὰρ τί ταῦθ', ἃ πάντες ἴσμεν, μανθάνω;

ΣΩΚΡΑΤΗΣ

οὐδὲν, μὰ Δί'· ἀλλὰ κατακλινεὶς δευρὶ

ΣΤΡΕΨΙΑΔΗΣ

τί δρῶ; 690

ΣΩΚΡΑΤΗΣ

ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.

ΣΤΡΕΨΙΑΔΗΣ

μὴ δῆθ', ἱκετεύω σ', ἐνθάδ'· ἀλλ', εἴπερ γε χρή,
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.

ΣΩΚΡΑΤΗΣ

οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.

ΣΤΡΕΨΙΑΔΗΣ

κακοδαίμων ἐγώ,
οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον. 695

---

686. Hunc versum omittit Rav.

687. Veterum edd. et codicum fere omnium scriptura *γυναῖκα τὴν Ἀμυνίαν* in edd. recentioribus ex perpaucis iisque deterioribus codd. in *γυναῖκα δὴ τὸν Ἀμυνίαν* abierat. Alii codd. *τὸν Ἀμυνίαν*, sine *δή*. Invenitur etiam *τὸν Ἀμυνία* et *τὴν Ἀμυνία*. Recte Brunckius veterem scripturam revocavit. Sensus verborum hic est: feminam, cui nomen est Amynia, vocas.

688. Pro *ὅστις* ex libro Ravennate *ἥτις* dedimus, aptum praecedentibus, et plenum contemptionis.

690. Verba haec, *οὐδὲν μὰ Δία*, male vertit Wolfius, *das kann wohl seyn*. Significant *nullo pacto*, ut *οὐδέν γε* in Avibus v. 1360. Nam Strepsiades quum dixit *ἃ πάντες ἴσμεν*, mores Amyniae in mente habet: Socrates autem illam nominum recte formandorum doctrinam minime notam esse omnibus contendit.

692. *ἐνθάδ'*] R. *ἐνταῦθ'*. mox *εἴ γε χρή*. ERN. Ven. *ἐνταῦθ' εἴ γε χρή*. Invernizius libros suos habere scripsit *ἐνταῦθεν. ἀλλ' εἴ γε χρή*. De Ravennate nihil adnotavit ex Bekkeri schedis Seidlerus.

ΗΜΙΧΟΡΙΟΝ

φρόντιζε δή, καὶ διάθρει, — στροφή.
πάντα τρόπον τε σαυτὸν
στρόβει πυκνώσας.
ταχὺς δ', ὅταν εἰς ἄπορον πέσῃς,
ἐπ' ἄλλο πήδα — 700
νόημα φρενός· ὕπνος δ' ἀπέ-
στω γλυκύθυμος ὀμμάτων.
* * * *
* * *
* * * — 705

ΣΤΡΕΨΙΑΔΗΣ

ἀτταταῖ, ἀτταταῖ.

ΧΟΡΟΣ

τί πάσχεις; τί κάμνεις;

ΣΤΡΕΨΙΑΔΗΣ

ἀπόλλυμαι δείλαιος· ἐκ τοῦ σκίμποδος
δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι,

---

696. Stropham haec esse, cuius antistropha sequitur v. 803. monui, quum primum Nubes edidi. Debebat ea autem hemichorio tribui, vel numeris arguentibus, non Socrati, cuius persona in libris adscripta est. Socrates putandus est intro abisse, qui redit v. 722. Brunckius temere, quum τε in uno alterove libro deesse videret, πάντας τρόπους ἑαυτὸν edidit: mox tamen recte dedit ὅταν ex codd. pro vulgato ὅταν γ'.

700. Vulgo εἰς ἄλλο et ἐς ἄλλο. Brunckius ἐπ' ἄλλο restituit ex C. Sic etiam Suidas in v. μεταπήδα et ταχύς. Neque aliter, si ex silentio existimare tutum est, Bekkeri codices.

703. Exciderunt tres ultimi strophae versus.

706. Vulgo bis ἰατταταί. Ven. ἀτταταί bis. Rav. bis ἀτταταῖ. Vide Herodianum περὶ μονήρους λέξεως p. 27, 13.

707. Adscripta erat Socratis persona et hic et mox v. 715. Dedi haec choro, re ipsa postulante, et hoc quidem in versu etiam numeris monentibus. Vide ad v. 696.

709. οἱ Κορίνθιοι] Nugae sunt, quae scholiastes habet. Immo est ridiculum ex inopinato pro κόρεις (v. 724.) positis Corinthiis, quos perstringere obiter voluit, quos dicit primum τὰς πλευρὰς δαρδάπτειν, quod quo pertineat nondum extrico; secundum τὴν ψυχὴν ἐκπίνειν ad saevitiam foenebrem; nam foeneratores etiam ψυχορρόφοι dicuntur. v. Hesych. in h. v. ERN. Recte hunc locum Ernestius

καὶ τὰς πλευρὰς δαρδάπτουσιν, 710
καὶ τὴν ψυχὴν ἐκπίνουσιν,
καὶ τοὺς ὄρχεις ἐξέλκουσιν,
καὶ τὸν πρωκτὸν διορύττουσιν,
καί μ' ἀπολοῦσιν.

ΧΟΡΟΣ

μὴ νῦν βαρέως ἄλγει λίαν. 715

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ πῶς; ὅτε μου
φροῦδα τὰ χρήματα, φρούδη χροιά,
φρούδη ψυχή, φρούδη δ' ἐμβάς·
καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς
φρουρᾶς ᾄδων 720
ὀλίγου φροῦδος γεγένημαι.

ΣΩΚΡΑΤΗΣ

οὗτος, τί ποιεῖς; οὐχὶ φροντίζεις;

ΣΤΡΕΨΙΑΔΗΣ

ἐγώ;
νὴ τὸν Ποσειδῶ.

---

intelligit. Verba, τὰς πλευρὰς δαρδάπτουσιν, ad libidinem Corinthiorum pertinent, pariter atque illa, τὸν πρωκτὸν διορύττουσιν. Vide Thesm. 648. ibique schol. Vnde Κορινθιάζειν. Spectat autem eadem quae infra dicit v. 1014. ἕξεις χροιὰν ὠχράν, ὤμους μικρούς, στῆθος λεπτόν.

710. Qui alias accurate ν extremis versuum syllabis addit, liber Ravennas, hoc in loco verba omnia in σι terminata exhibet.

715. Socratis personam cum persona chori commutavi. Vide ad v. 696. et 707.

716. Brunckius posuit more suo ὅτ' ἐμοῦ, ad quod nihil ex suis codd. adscripsit Bekkerus, sed eos tamen ὅτε μου vulgatam habere credo.

719. κακοῖς] R. κακοῖσιν. ERN. Ven. Rav. κακοῖσι. Rav. etiam ἐπι pro ἔτι.

720. Rav. Ven. Barocc. 127. φρουράς, quod receptum in ed. Bekk. Sed φρουρᾶς ᾄδων proverbium Apostolius habet XX. 33. et Suidas v. φροῦδος. Apte Berglerus comparavit Aeschyl. Agam. 16.

721. Ven. Rav. et Elb. ὀλίγον.

722. οὗτος; τί ποιεῖς;] C. inserit τί πάσχεις; quod sane arridet: τί ποιεῖς glossae similius quam τί πάσχεις; infra v. 788. τί πείσομαι, *quid agam?* ERN.

ΣΩΚΡΑΤΗΣ

καὶ τί δῆτ' ἐφρόντισας;

ΣΤΡΕΨΙΑΔΗΣ

ὑπὸ τῶν κόρεων εἴ μού τι περιλειφθήσεται.

ΣΩΚΡΑΤΗΣ

ἀπολεῖ κάκιστ'. 725

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ', ὦ 'γάθ', ἀπόλωλ' ἀρτίως.

ΣΩΚΡΑΤΗΣ

οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα.
ἐξευρετέος γὰρ νοῦς ἀποστερητικός,
κἀπαιόλημ'.

ΣΤΡΕΨΙΑΔΗΣ

οἴμοι· τίς ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;

ΣΩΚΡΑΤΗΣ

φέρε νῦν, ἀθρήσω πρῶτον, ὅ τι δρᾷ; τουτονί. 730
οὗτος καθεύδεις;

ΣΤΡΕΨΙΑΔΗΣ

μὰ τὸν Ἀπόλλω, 'γὼ μὲν οὔ.

ΣΩΚΡΑΤΗΣ

ἔχεις τί;

ΣΤΡΕΨΙΑΔΗΣ

μὰ Δί, οὐδέν γ' ἔγωγ'.

---

727. L. Ia. ἐξευρητέος. ERN. Sic etiam tres Regii, Ravennas, Borgianus, Venetus, Dorvillianus, item duo alii apud Porsonum et duo Dobraei. Vulgo εὑρητέος. Recte Porsonus ἐξευρετέος, eam formam afferens ex Plat. Rep. II. p. 380. A. et ἀνευρετέον ex eiusdem Politico p. 294. C. Dobraeus scripturae diversitatem ap. Thucyd. III. 45. adiecit.

728. Suid. in παιόλημα hinc citat καὶ παιόλημ' et ἀπαιόλημα pro varia lectione: v. Hesych. in ἀπαιόλημα et ibi intt. item Eustath. ad Il. β. p. 352. Gl. R. interpretatur παραλογισμός. ERN.

729. Rav. ἀρνακιδῶν. Tum vulgo ἀποστερητίδα. Sed bene Brunckius ex A. C. ἀποστερητρίδα reposuit. Id Porsonus apud Suidam MS. in v. ἀποστερητίδα et ἀρνακίδα invenit. Ravennas et sextus Dobraei ἀποστερητικήν, quae lectio pertinet ad v. 746.

732. Vulgo μὰ Δί' οὐδὲν ἔγωγ'. Suidas in ἔχεις τι, μὰ τὸν Δί', οὐδὲν ἔγωγ' habet: quod Brunckius propter responsionem Socratis,

ΣΩΚΡΑΤΗΣ

οὐδὲν πάνυ;

ΣΤΡΕΨΙΑΔΗΣ

οὐδέν γε, πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.

ΣΩΚΡΑΤΗΣ

οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;

ΣΤΡΕΨΙΑΔΗΣ

περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σώκρατες. 735

ΣΩΚΡΑΤΗΣ

αὐτὸς ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε.

ΣΤΡΕΨΙΑΔΗΣ

ἀκήκοας μυριάκις, ἃ 'γὼ βούλομαι·
περὶ τῶν τόκων, ὅπως ἂν ἀποδῶ μηδενί.

ΣΩΚΡΑΤΗΣ

ἴθι νυν, καλύπτου, καὶ σχάσας τὴν φροντίδα
λεπτήν, κατὰ μικρὸν περιφρόνει τὰ πράγματα, 740
ὀρθῶς διαιρῶν καὶ σκοπῶν.

ΣΤΡΕΨΙΑΔΗΣ

οἴμοι τάλας.

---

et facete repetitum οὐδὲν praeferendum putat, etsi e cod. C. edidit οὐ δῆτ' ἔγωγ'. Ad id nihil ex Rav. et Ven. adnotavit Bekkerus. Apud Suidam locus hic omissus in MS. quo Porsonus usus est. Suidae editi scripturam probabant Toupius Cur. noviss. in Suid. p. 53. et Reizius. Recte vero Dukerus coniecit μὰ Δί' οὐδέν γ' ἔγωγ'. Ita secundus Dobraei ex emendatione primae manus, idque voluit etiam librarius in primo codice dare. In Rav. haec omnia, μὰ Δί' — ἐν τῇ δεξιᾷ Strepsiadis sunt.

736. πρῶτος] L. Ia. et Ib. a m. pr. πρῶτον, quod verum videtur. ERN. Si ἐξευρεῖν legitur, etiam πρῶτον scribi deberet. Verum recte se habet πρῶτος. Nam ex libris Ravennate et Veneto legendum ἐξευρών. *Αὐτός*, inquit, *ὅ τι βούλει πρῶτος*, *λέγε*, *tu ipse primus aliquid inveni*, *idque mihi expone.* Atque ita etiam scholiastes videtur legisse, cuius haec est adnotatio: διαβάλλει αὐτόν, ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς.

740. In hoc et v. 742. 743. 760. lepide ridet praecepta dialecticorum de meditatione. ERN.

741. διαιρῶν] Hesych. διαιρεῖν, διακρίνειν, ἐξακριβοῦν. v. Bos. Obs. crit. p. 24. seq. ERN.

ΣΩΚΡΑΤΗΣ

ἔχ' ἀτρέμα· κἂν ἀπορῇς τι τῶν νοημάτων,
ἀφεὶς ἄπελθε. κᾆτα τῇ γνώμῃ πάλιν
κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.

ΣΤΡΕΨΙΑΔΗΣ

ὦ Σωκρατίδιον φίλτατον. 745

ΣΩΚΡΑΤΗΣ

τί, ὦ γέρον;

ΣΤΡΕΨΙΑΔΗΣ

ἔχω τόκου γνώμην ἀποστερητικήν.

ΣΩΚΡΑΤΗΣ

ἐπίδειξον αὐτήν.

ΣΤΡΕΨΙΑΔΗΣ

εἰπὲ δὴ νῦν μοι.

ΣΩΚΡΑΤΗΣ

τὸ τί;

---

743. Rav. Ven. πάλαι. Legebatur vulgo, κᾆτα τὴν γνώμην πάλιν κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον. Quod in paucis codd. scriptum est αὖθις εἰς αὐτό, metro aptavit Brunckius, αὖθις ἐς αὐτὸ exhibens. Sed praepositionem istam, quam Rav. Ven. aliique boni codd. non habent, additam esse patet expediendae constructionis caussa, quae perturbata fuit, quum τὴν γνώμην per errorem esset illatum. Voluit eam expungi etiam Elmsleius in Auctario ad Acharn. 178. non tamen emendans locum. Ego reposui τῇ γνώμῃ. Sunt haec, nisi fallor, tragici cuiuspiam verba.

744. R. L. C. Ib. ζυγόθρισον, et sic habent MSS. Pollucis X. 26. qui fluctuat inter ζυγάθρισον et ζυγόθρισον, unde editores ex Aristophanis libris fecere ζυγώθρισον, item Hesychii edd. pr. Sed Suid. ζυγώθρισον. Et huic favet analogia, ζύγωθρον, ζυγωθρίζω. cf. et Bos Obs. Cr. p. 163. ERN. Valckenarius ad Theocr. Adoniaz. p. 335. et Brunckius e scholiasta notant videri fuisse olim, qui hic κἀναζύγωσον pro καὶ ζυγώθρισον legerent.

746. Ib. ἀποστερητίδα e v. 729. ERN. Sic etiam sextus Dobraei.

747. Ib. delet δή, L. νῦν μοι τοδί. In C. totus versus est Socratis. Versus lectio omnino adhuc fluctuat. Suid. in ἐπίδειξον etiam aliter profert, quam hic est. ERN. Suidas in v. ἐπίδειξον haec affert: ἔχεις τινὰ γνώμην; ἐπίδειξον αὐτήν. Ravennas et Venetus, ut vulgo, εἰπὲ δὴ νῦν μοι. ΣΩ. τὸ τί; nisi quod Ravennas etiam ἐπίδειξον αὐτὴν Strepsiadi tribuit. Brunckius e B. εἰπὲ δὴ νῦν μοι τοδὶ edidit. Tres alii eius codd. τὸ τί, non praefixo Socratis

ΣΤΡΕΨΙΑΔΗΣ

γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν,
καθέλοιμι νύκτωρ τὴν σελήνην· εἶτα δὲ
αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον, 750
ὥςπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων.

ΣΩΚΡΑΤΗΣ

τί δῆτα τοῦτ' ἂν ὠφελήσειέν σ';

ΣΤΡΕΨΙΑΔΗΣ

ὅ τι;
εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺς τόκους.

ΣΩΚΡΑΤΗΣ

ὁτιὴ τί δή;

ΣΤΡΕΨΙΑΔΗΣ

ὁτιὴ κατὰ μῆνα τἀργύρια δανείζεται. 755

---

nomine; alius Regius τοτί, etiam absque persona Socratis. In cod. Elb. absunt personarum nomina. Nos lectionem vulgatam servandam censuimus. Eamque etiam Reizius probabat. Mutata illa fuit in B. et L. ab librariis, quum nomen Socratis excidisset, ut in plerisque libris factum videmus.

749. Libri εἶτα δή, nisi quod Dobraei primus εἰ pro εἶτα, sextus autem, δή omittens, εἶτ' exhibet. Nec profecto hic δή potius quam δὲ requiritur, quod posui. Et videtur sic scribendum censuisse Porsonus, qui ad εἶτα δή adscripserit: „sic Suid. ed. ms. λοφ."

753. Ἀνατέλλοι recte Brunckius e quattuor Regiis, quibus accedit Ravennas, ut ait Invernizius. Bekkerus ex eo et Veneto adnotavit ἀνατέλλει. Vulgo ἀντέλλοι.

754. ὅτιη C. Ib. ὅτι τι δή; R. Ia. L. ERN. Ὁτίη τι Elbing. et Bavar. ὅτι τιὴ δή unus Regius. Rav. ὅτιη. Ven. et alii ὁτιή. Vulgatam τίη τί δή servarunt Brunckius et, qui id τιητί δή scripsit, Reisigius. Scholiastes ista παράλληλα dicit. Quae tam singularis ratio est, ut non possit non suspecta videri. Legitur illud τίη τί δή etiam in Vespis 1155. in Pace 1018. in Thesmoph. 84. Nec τίη τί in fragmento ex Horis apud Athenaeum IX. p. 372. D. vitio caret. Recte vero dicitur ὁτιὴ τί δή, ut ὁτιὴ τί v. 783. et ὅτι τί δή in Pluto 136. more usitato Graecis, quo partem eorum, quae alterum dicere volunt, anticipant, adiuncta interrogatione, quasi dicas, *quia — quid?* Simile est τὸ τί v. 747. 774.

755. τἀργύριον. Sic edidimus e MSS. Vat. Arund. R. L. I. edd. Ald. Crat. Iunt. Canin. Cheradami. ERN. Aliae vett. edd. γ'ἀργυρίον, unde postea factum γ' ἀργυρίων. Codd. recte τἀργύριον. Scho-

ΣΩΚΡΑΤΗΣ

εὖ γ'· ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,
ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.

ΣΤΡΕΨΙΑΔΗΣ

ὅπως; ὅπως; οὐκ οἶδ'· ἀτὰρ ζητητέον.

ΣΩΚΡΑΤΗΣ

μή νυν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεί, 760

---

liasten, qui pluralem ἀργυρίων reperiri diserte scribit, iniuria videtur Brunckius reprehendere. Vix enim credi potest, hunc tam ineptum fuisse, ut de genitivo cogitaret. Immo genitivum librarii, quum in contextu Aristophanis male scriptum reperissent ἀργυρίων, etiam in scholiis reposuerunt pro eo, quod scholiastes scripserat, ἀργύρια. Id reposui, quia multo verisimilius est, pluralem ab Aristophane quam singularem positum esse. Platonem in Cleophonte auctorem huius usus citavit Antiatticista p. 79, 20. Atque ipse sic Aristophanes, ut in Avibus v. 600.

756. Reisigius in Coni. p. 316. hunc versum minore interpunctione posita cum sequentibus coniungendum censuit. Probarem, si statim sequeretur ὅπως.

757. Videtur hic latere aliquid amarae reprehensionis, eruendum e Pace v. 171. ERN. Fallitur. Si aliquid hic certi respiceretur, facilius de Cleonis illis quinque talentis cogitari posset, de quibus est in Acharn. v. 6. Sed saepe etiam ab aliis scriptoribus quinque talenta memorantur, omninoque is numerus tum in iure Attico, ut in praescriptione, tum in vita communi quacumque in re usitatus est. Sic in ipsis Nubibus v. 10. atque alibi apud Aristophanem. Vnus Regiorum πενταταλαντος hic et v. 769. non deterius Brunckio visum. Sed alteram formam Atticam esse observat scholiastes. Ita in Equit. 1049. πεντεσυρίγγῳ ξύλῳ.

758. Ven. omittit αὐτήν.

759. Ne quis forte putet verba ἀτὰρ ζητητέον Socrati potius quam Strepsiadi convenire, meminerit velim, alacriorem approbatione Socratis et confidentiorem factum esse Strepsiadem. Accedit aliud, minime illud negligendum. Nam particulae ἀτὰρ ea ratio est, ut non, quemadmodum ἀλλά, etiam ad respondendum alii adhibeatur, sed referatur ad ipsius qui loquitur praegressa verba. Idque fit etiam quum ab alio interpellata est oratio, ut in Avibus v. 648. Non negligendus hic usus huius particulae Vesparum versum 530. tractantibus.

760. Brunckius e suo codice ἴλλε, quod falso dicit Invernizius in Rav. esse. Is codex cum Ven. et Ernestii R. aliisque et antiquis

ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
λινόδετον ὥςπερ μηλολόνθην τοῦ ποδός.

ΣΤΡΕΨΙΑΔΗΣ

εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην,
ὥςτ' αὐτὸν ὁμολογεῖν σ' ἐμοί.

ΣΩΚΡΑΤΗΣ

ποίαν τινά;

ΣΤΡΕΨΙΑΔΗΣ

ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον 765
ταύτην ἑόρακας, τὴν καλήν, τὴν διαφανῆ,
ἀφ' ἧς τὸ πῦρ ἅπτουσι;

---

edd. εἶλλε, quod probabat etiam Porsonus Suida auctore in εἴλλειν Nota satis de eo verbo disputatio Hemsterhusii apud Ruhnkenium ad Tim. in γῆν ἰλλομένην, quam pro se et Brunckius et Porsonus, quamvis diversa probantes, attulere.

761. Rav. εἰς.

762. μηλολόνθην] In hac lectione consentiunt scripti et editi. Sic saepe Aristoteles H. A. IV. 1. I. 5. V. 19. Eustathius autem p. 1329. in codd. antiquioribus scribi μηλόνθην, idque Atticum esse, sed suae aetatis libros exhibere μηλολόνθην. ERN.

765. ἤδη] L. addit ποτὲ. ERN. Etiam alii quidam codd. ποτὲ addunt. Hic versus in iis est, in quibus dubites, utrum vulgata lectio ab Aristophane profecta sit, an ea, quae grammaticis metrum evertere visa est, ob eamque rem facile oblitterari potuit. Nam sic fortasse scripsit Aristophanes:

ἤδη ποτὲ παρὰ τοῖς φαρμακοπώλαις τὴν λίθον.

Qui versus numeris est egregiis, licet vulgares metrici hanc syllabarum rationem improbare cogantur vitio doctrinae suae. Vide quae de ea re dixi in Elem. d. m. p. 127. seqq. Et codex Ravennas habet τοῖς.

766. R. L. Ib. ἑώρακας. mox τὴν διαφανῆ, L. Ia. καὶ διαφανῆ. ERN. Plerique codd. ἑώρακας, pauci ἑώρας, ut vulgo. Rav. Ven. Dorv. ἑόρακας. De qua forma Buttmannus in gramm. Gr. vol. II. p. 416. seq. ita disputat, ut eam Alexandrinis potius, quam antiquioribus usurpatam putet, Porsonum etiam ad ἑώρακας redisse ratus, quum negligentius inspexisset Reisigii Coniectanea p. 73. Nam contrarium arguit adnotatio ad Phoen. 1367. Si Kiddii adnotatis ad Dawes. Misc. p. 555. fides, non Tyrwhitto, quem is p. 368. affert, sed Bentleio prima illius formae restitutio debetur. Videndi etiam Reisigius in Coniect. p. 73. et Meinekius ad Menandrea p. 119.

ΣΩΚΡΑΤΗΣ

τὴν ὕαλον λέγεις;

ΣΤΡΕΨΙΑΔΗΣ

ἔγωγε.

ΣΩΚΡΑΤΗΣ

φέρε, τί δῆτ' ἄν;

ΣΤΡΕΨΙΑΔΗΣ

εἰ ταύτην λαβών,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύς,
ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον, 770
τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης.

ΣΩΚΡΑΤΗΣ

σοφῶς γε, νὴ τὰς Χάριτας.

ΣΤΡΕΨΙΑΔΗΣ

οἴμ', ὡς ἥδομαι,
ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.

ΣΩΚΡΑΤΗΣ

ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον.

ΣΤΡΕΨΙΑΔΗΣ

τὸ τί;

ΣΩΚΡΑΤΗΣ

ὅπως ἀποστρέψαις ἂν ἀντιδικῶν δίκην,
μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.

---

768. Ven. φερὲ δὴ τί τ' ἄν.

770. Ven. ὡδί. Sic etiam Barocc. 127. et Suidas v. ὕαλη, etiam MS.

773. διαγέγραπταί μοι] Atticis δίκη dicitur διαγράφεσθαι, cum vel differtur vel tollitur; Lysias Or. XVII. de pecuniis publ. p. 315. dixit de *dilatione:* frequentior usus est de *sublatione:* et sic explicat Harpocr. ubi v. Vales. et Markland. ad Lysiam l. c. ERN.

774. R. συνάρπασον. De verbo ipso vid. ad 486. Sic dixit et Sophocles Aiac. v. 16. ERN.

775. ἀποστρέψαις ἂν] Sic e codd. scr. edidit Kusterus, quibus consentiunt e nostris R. Ia. Ceteri cum edd. ἀποτρέψαις. ἂν delet L. ERN. Brunckius malebat ὅπως ἂν ἀποστρέψειας ἀντιδικῶν δίκην. Et vero codd. nonnulli ἂν omittunt post ἀποστρέψαις, et sextus Dobraei ac Dorvillianus, hic quidem ex emendatione vel contra, habent ἀποστρέψειας.

ΣΤΡΕΨΙΑΔΗΣ.

φαυλότατα καὶ ῥᾷστ᾽.

ΣΩΚΡΑΤΗΣ

εἰπὲ δή.

ΣΤΡΕΨΙΑΔΗΣ

καὶ δὴ λέγω.

εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,

πρὶν τὴν ἐμὴν καλεῖσθ᾽, ἀπαγξαίμην τρέχων.

ΣΩΚΡΑΤΗΣ

οὐδὲν λέγεις. 780

ΣΤΡΕΨΙΑΔΗΣ

νὴ τοὺς θεοὺς ἔγωγ᾽, ἐπεὶ

οὐδεὶς κατ᾽ ἐμοῦ τεθνεῶτος εἰςάξει δίκην.

ΣΩΚΡΑΤΗΣ

ὑθλεῖς· ἄπερρ᾽ οὐκ ἂν διδαξαίμην σ᾽ ἔτι.

ΣΤΡΕΨΙΑΔΗΣ

ὁτιὴ τί; ναὶ σέ, πρὸς θεῶν, ὦ Σώκρατες.

ΣΩΚΡΑΤΗΣ

ἀλλ᾽ εὐθὺς ἐπιλήθει σύ γ᾽, ἅττ᾽ ἂν καὶ μάθῃς·

---

779. καλεῖσθ᾽] Ib. ἐκκαλεῖσθαι, quae est glossa. καλεῖν δίκην dicitur magistratus, cum eam, ut Cicero ait, *sortitur*, *agi iubet*. ERN. Dawesius in Misc. cr. p. 270. καλεῖν corrigebat, quod recte repudiavit Brunckius ad v. 988. Deest καλεῖσθ᾽ in Rav. Ven. σ᾽ omittit.

782. διδαξαίμην σ᾽ ἔτι] Ib. σε διδαξαίμην ἔτι. ERN. Reizius corrigebat, διδάξαιμί σ᾽ ἔτ᾽ ἐγὼ numeris non elegantibus, sed quibus illo tempore nemo multum offendebatur. Elmsleius ad Med. 290. ubi de media huius verbi forma disserit, coniiciebat, οὐκ ἂν διδάξαιμ᾽ ἄν σ᾽ ἔτι. Si quid corrigendum est, poterat etiam οὐκ ἂν σέ γε διδάσκαιμ᾽ ἔτι afferri. Sed nihil mutandum, non quod, ut Porsonus existimabat, poetae aliquando medium et activum confuderint, sed quia διδάξασθαι est sibi aliquem ut discipulum instituere. Sic apud Pindarum Olymp. VIII. 77. τὸ διδάξασθαι δέ τοι εἰδότι ῥᾴτερον. Aliud exemplum vide apud Elmsleium.

783. Vulgo ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν, ὦ Σώκρατες. Rav. ὁτιὴ τί ναὶ σπρός. Hoc quamvis levi vestigio elegantiorem scripturam restituendam duxi ναὶ σέ, πρὸς θεῶν. Plerumque πρὸς τῶν θεῶν dicit Aristophanes: sed invenitur etiam πρὸς θεῶν in Pace v. 9. in Av. 663. in Eccles. 1095. in Pluto 1147.

784. Rav. σύ τ᾽. Ven. σὺ ἅτ᾽.

ἐπεὶ τί νῦν, τί πρῶτον ἐδιδάχθης; λέγε. 785

ΣΤΡΕΨΙΑΔΗΣ

φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
τίς ἦν, ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
οἴμοι, τίς ἦν;

ΣΩΚΡΑΤΗΣ

οὐκ ἐς κόρακας ἀποφθερεῖ,
ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;

ΣΤΡΕΨΙΑΔΗΣ

οἴμοι. τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι; 790
ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
ἀλλ', ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.

ΧΟΡΟΣ

ἡμεῖς μέν, ὦ πρεσβῦτα, συμβουλεύομεν,
εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν. 795

ΣΤΡΕΨΙΑΔΗΣ

ἀλλ' ἔστ' ἐμοί γ' υἱὸς καλός τε κἀγαθός.
ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν, τί ἐγὼ πάθω;

---

785. δήγε] R. νῦν. L. τονῦν, qui et ἐδιδάχθης pro ἐδιδάσκου. ERN. De Leidensi falsa retulit Ernestius, si in eo τί νυν πρῶτον ἐδιδάχθης est, ut ab Ruhnkenio notatum. Vulgo, τί δή γε πρῶτον ἐδιδάσκου. Rav. Ven. τί νυνὶ πρῶτον ἐδιδάχθης. Codd. alii τί δή γε πρῶτον, alii τί νῦν γε πρῶτον, alii τί νῦν πρῶτον, quartus Dobraei τί δῆτα πρῶτον, sextus τί δή γε πρότερον habent. Fluctuant etiam inter ἐδιδάχθης et ἐδιδάσκου. Imperfectum Reisigius in Coni. p. 231. tuetur similibus locis Thesm. 629. et Xenoph. Oec. 7, 9. Et sane ex Dorv. qui bonus codex est, ἐκδιδάσκου, sic, attulit Porsonus. Brunckius coniiciebat τί νῦν δὴ πρῶτον ἐδιδάσκου; Reisigius, ἐπεὶ τανῦν, τί πρῶτον ἐδιδάσκου, λέγε. Librorum scripturas consideranti non potest obscurum esse, librarios alium aliter versui, cui syllaba deesset, studuisse succurrere. Et parum quidem feliciter, nisi fallor, is, cuius correctio in Rav. et Veneto exstat. Quare restituta voce, quae quam facile negligi potuerit apertum est, τί νῦν, τί πρῶτον dedi.

796. Rav. ἔσται μοι.

797. ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν] Ἀλλ' οὐ θέλει R. γὰρ omittit L. — R. L. Ia. τί 'γὼ πάθω; ERN. Rav. Ven. et plerique codd. cum edd. τί ἐγὼ πάθω; Aliqui τί 'γὼ πάθω; Brunckius e MS. C. edidit, τί δ' ἐγὼ πάθω; Reizius scribendum putabat, τί

ΧΟΡΟΣ

σὺ δ' ἐπιτρέπεις;

ΣΤΡΕΨΙΑΔΗΣ

εὐσωματεῖ γὰρ καὶ σφριγᾷ,
κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
ἀτὰρ μέτειμί γ' αὐτόν· ἢν δὲ μὴ θέλῃ, 800
οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰςελθὼν χρόνον.

ΧΟΡΟΣ

ἆρ' αἰσθάνει πλεῖστα δι' ἡ- ἀντιστρ.
μᾶς ἀγαθ' αὐτίχ' ἕξων
μόνας θεῶν; ὡς 805
ἕτοιμος ὅδ' ἐστὶν ἅπαντα δρᾶν,
ὅσ' ἂν κελεύῃς.
σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου
καὶ φανερῶς ἐπῃρμένου
γνοὺς ἀπολαύσαις, ὅ τι πλεῖστον δύνασαι· 810

γὰρ πάθω; Sic alibi Aristophanes, ut in Lysistr. 884. in Ecclesiaz. 860. in Avibus 1432. Vide Valcken. ad Eurip. Phoen. p. 335.

799. Rav. τῶν omittit. Ven. pro articulo habet καί, non male. Sed vulgata exstat etiam apud Suidam v. εὐπτέρων. De Coesyra v. ad v. 49.

801. Rav. ἐξολῶ.

802. εἰςελθὼν] L. Ia. ἐνταυθοῖ, ut infra v. 842. ERN. Sic etiam Mut. b.

803. Carmen hoc antistropham esse ad stropham notavimus v. 696. Inde pro ἄρά γ' αἰσθάνει scribendum fuit ἆρ' αἰσθάνει, mutata etiam versuum descriptione. Ex Veneto adnotatum ἆρ' αἰσθάνῃ.

805. Rav. Ven. μόνος.

806. ἅπαντα R. L. ERN. Sic etiam Rav. Ven. alii. Vulgo πάντα.

808. C. ἐκπεπλησμένου. Sed glossa eiusdem ἐξεστηκότος, *admiratione capti*, vel *cupiditate incensi*, ut verbum hoc eleganter dicitur. v. Hemsterh. ad Plut. 673. ἐπῃρμένου v. seq. est vel *incitati ad discendum*, vel *erecti spe ad potiundum*. ERN.

810. ἀπολέψεις] Vat. Arund. R. C. Ib. Suid. ἀπολάψεις. gloss. cod. Ib. καταψᾷ δίκην κυνός. idque praefert Kusterus. L. Ia. ἀπολαύσεις, quod ex ἀπολάψεις factum puto, nisi glossa est. Nam sensus tamen est, *urge hominem dum gestit discere, et utere occasione*. Bentleius vulgatum probat, vel ἀπολόψεις, *avelles*. ERN.

ταχέως φιλεῖ γάρ πως τὰ τοι-
αῦθ' ἑτέρᾳ τρέπεσθαι.

ΣΤΡΕΨΙΑΔΗΣ. ΦΕΙΔΙΠΠΙΔΗΣ.
ΣΩΚΡΑΤΗΣ.

ΣΤΡΕΨΙΑΔΗΣ

οὗτοι, μὰ τὴν Ὁμίχλην, ἔτ' ἐνταυθὶ μενεῖς·

Vulgo ἀπολέψεις. Brunckius ἀπολάψεις cum plerisque et melioribus codd. Suidas in ἀπολάψεις: ἐὰν διὰ τοῦ ε ἀπολέψεις, τουτέστιν ἀπολεπίσας. ἀπολέψαντα τὸ λέμμα. ἀπολεπίσαντα ὥςπερ ᾠοῦ. (Patet haec corrupta esse.) ἐὰν δὲ ἀπολάψεις, ἐκπιεῖ. (Sic legendum pro ἀπολάψῃς, ἐκπίῃς.) ἀπὸ τῶν κυνῶν ἡ μεταφορά, καὶ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἁφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος λάψαντες γλώσσῃσι. καὶ Ἀριστοφάνης Νεφέλαις· γνοὺς ἀπολάψεις ὅ τι πλεῖστον δύνασαι ταχέως. Caeterum Brunckius codd. recte interpungere monuit post δύνασαι, non ut ipse Bergleri editione deceptus fecerat, et ut apud Suidam est, post ταχέως. Quidam codd. ἀπολαύσεις, nominatim, praeter eos quos Ernestius indicavit, Barocc. 43. Dobraei quintus, Mut. secundus. Hoc verbum, quantum ego quidem videam, solum et significatu et usu aptum est, nisi quod eius futurum activum non usurpatur. Ἀπολέπειν et ἀπολάπτειν vereor ne neque explicari commode possint, neque construi cum genitivo. Accedit quod etiam ἀπολάπτειν futurum habet ἀπολάψομαι. Denique ne omnino quidem tempus futurum huic loco convenit: recteque scholiastes: ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προςτακτικοῦ. δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσιν. Haec me adduxerunt, ut scriberem ἀπολαύσαις. Error ortus videtur ex pronunciatione dictantis: ex cuius ore quum exceptum esset ἀπολάψεις, haerentes in explicando hoc verbo in ἀπολέψεις inciderunt.

811. Suidas v. φιλεῖ γάρ πως et editus et MS. φιλεῖ γὰρ τὰ πολλὰ ἑτέρως τρέπεσθαι.

812. R. ἑτέρᾳ. ERN. Sic etiam Ravennas et Caninii liber. Venetus ἕτερα. Caeteri et scripti et editi ἑτέρως.

813. οὔτοι] R. οὔκουν, mox Ia. ἐν ταὐτῷ. ERN. Libri fere ἐνταυθοῖ, pauci ἐν ταὐτῷ, unus apud Dobraeum ἐνταυθί. Eam formam, quam Elmsleius ad Acharn. 152. unice ut Atticam probavisse videtur, Dindorfius ubique in Aristophanem pro ἐνταυθοῖ intulit. Elmsleium sequi recte veritus est Stallbaumius ad Plat. Euthyphr.

ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.

ΦΕΙΔΙΠΠΙΔΗΣ

ὦ δαιμόνιε, τί χρῆμα πάσχεις, ὦ πάτερ; 815

---

p. 23. sed neque hic, nec Schaeferus ad Longum p. 422. nec Buttmannus in gramm. Gr. vol. II. p. 288. distincte satis perspecteque de his formis explicuerunt. Bekkero, quae est in eo viro linguae Graecae scientia, non latuisse veram rationem, testis est eius editio Demosthenis. Ἐνταυθοῖ est *huc, istuc:* eoque significatu iam Homerus usurpavit Iliad. φ. 122. ἐνταυθοῖ νῦν κεῖσο, et Od. σ. 104. υ 262. ἐνταυθοῖ νῦν ἧσο. non ille recte intellectus Buttmanno. Eo exemplo etiam in hymno Homerico Apollinis v. 363. scriptum est,

ἐνταυθοῖ νῦν πύθευ ἐπὶ χθονὶ βωτιανείρῃ,

liberius conformata oratione, quum, proprie si loqui vellet, dicendum fuisset ἐνταυθοῖ νῦν κεῖσο καὶ πύθευ. Non contenderim, recentiores scriptores non eadem et fortasse maiore etiam libertate usos esse: sed libris tamen in tam crebra commutatione harum formarum non eam fidem habeam, ut sine dubitatione ἐνταυθοῖ pro ἐνταῦθα positum laudem. Eadem qua Homerus significatione etiam Euripides Iph. Taur. 1010.

ἄξω δέ σ', ἥνπερ καὐτὸς ἐνταυθοῖ περῶ,
πρὸς οἶκον.

Sic illo loco scribendum esse monuimus olim in censura editionis Seidlerianae. Nec debebat Elmsleius dubitare, an formam, qua epici usi essent, non admisissent tragici. Immo usurparunt eam etiam comici et prosae orationis scriptores, ubi quidem *huc* et *illuc* recte diceretur. Quare minime removendum hoc adverbium est ex Aristoph. Plut. 225. 608. Lysistr. 4. 568. 570. Librariis vero haec forma pro ἐνταυθί, quod est *hic, istic*, debetur hoc Nubium loco, et, qui huic simillimi sunt, Vesp. 1442. Thesm. 225.

οὔ τοι, μὰ τὴν Δήμητρ', ἔτ' ἐνταυθὶ μενεῖς.
οὐ γάρ, μὰ τὴν Δήμητρ', ἔτ' ἐνταυθὶ μενῶ.

Item Nub. 842. Ach. 152. Pac. 892.

814. Scholiastarum commentum est, Megacli, dilapidatis bonis, nihil nisi splendidam columnis domum reliquam fuisse. Id miror persuaderi sibi passos esse etiam recentiores interpretes. Megaclem enim illum ut affluentem opibus et Strepsiades v. 70. et Phidippides v. 125. commemorant. Ipsique scholiastae divitias eius praedicant ad v. 71. Ex his patet, patrem, iratum prodigo filio, cui non amplius victum praebere vult, dicere: i, et perde sumptibus quos in equos facis columnas Megaclis. Sic Menander apud Athenaeum IV. p. 166. de Ctesippo, qui lapides e patris sepulcro vendiderat, καθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους ἀπαξάπαντας.

815. Ven. δαιμόνιε sine ὦ.

οὐκ εὖ φρονεῖς, μὰ τὸν Δία τὸν Ὀλύμπιον.

ΣΤΡΕΨΙΑΔΗΣ

ἰδού γ', ἰδού, Δί' Ὀλύμπιον· τῆς μωρίας·
τὸ Δία νομίζειν, ὄντα τηλικουτονί.

---

816. Quod in scholiis ad v. 818. scriptum est, τοῦ δὲ Δία τὸ α ἐκτείνεσθαί φησι Σύμμαχος. ἐνδεῖ δὲ τοῦ χ, dubitari posset, si hoc tempore viveret Symmachus, an ad hunc versum pertineret. Docti huius grammatici crebra est in scholiis ad Aristophănem mentio, qui pervelim scire quo id argumento contenderit. Illud apertum est, si producatur ea vocalis, elegantiorem esse numerum. Nec facile quis inveniat Δία sic positum, ut ultima in ictu sit, nisi Lysistr. 24. καὶ νὴ Δία παχύ, (Brunckius ex cod. A. νὴ τὸν Δία παχύ) cui loco, quem de vitio suspectum habeo, nihil tribuerim. In Nubibus credam, quod necessarium videbatur per Olympium Iovem iurari, aliquid sibi indulsisse Aristophanem, ne ab usitato more discederet, quo dicitur infra v. 1240. μὰ τὸν Δία τὸν μέγαν, et νὴ τὸν Δία τὸν σωτῆρα Plut. 877. Ran. 738. 1433. Eccl. 79. 761. 1045. et τὸν οὖν Δία τὸν σωτῆρα Plut. 1186. Aliter proclive erat scribere, οὐκ εὖ φρονεῖς τοι, μὰ τὸν Ὀλύμπιον Δία. Eadem cum emphasi ὁμόγνιε Ζεῦ dictum Ran. 750.

817. De illo genere exclamandi per genitivum copiose disseruit Reisigius in Coniect. p. 265. seqq. non tamen ut satis recte diceret de nomine cum adiectivo sine articulo, et proinde suspectum haberet illud in Lysistrata v. 967. ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν. Hoc qui dicit, de vehementia spasmorum conqueritur; qui τῶν δεινῶν ἀντισπασμῶν, de spasmis, qui sunt vehementes.

818. τὸν Δία νομίζειν] Sic scripti et editi omnes. E scholio autem colligitur olim hic lectum Δία sine articulo, quia dicit auctore Symmacho τὸ α in Δία produci Attice, quod in usitata lectione non est. Sane articulus hic ex analogia linguae alienus est. Non enim dicunt Greeci τοὺς θεοὺς νομίζειν, sed θεοὺς νομίζειν. Si vulgata lectio vera est, intelligendum sic, *quem vulgo dicunt Iovem, credere esse, revera esse.* ERN. Etiam apud Suidam v. τῆς μωρίας est τὸν Δία. Sed ibi MS. omittit verba τὸν Δία νομίζειν. Recte vero Ernestius animadvertit non dici νομίζειν τοὺς θεούς, sed νομίζειν θεούς. Euripides Suppl. 731.

νῦν, τήνδ' ἄελπτον ἡμέραν ἰδοῦσ' ἐγώ,
θεοὺς νομίζω.

Alia exempla sunt apud Xenophontem in principio Memorabilium Socratis, et apud Platonem in Apologia Socratis p. 60 — 64. Plato in Apologia p. 60. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν εἶναι τινὰς θεούς· οὐ μέντοι οὔςπερ γε ἡ πόλις, ἀλλ'

ΦΕΙΔΙΠΠΙΔΗΣ·

τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν.

ΣΤΡΕΨΙΑΔΗΣ·

ἐνθυμούμενος,

ὅτι παιδάριον εἶ, καὶ φρονεῖς ἀρχαϊκά. 820

ἑτέρους. Et mox, οὐδὲ ἥλιον, οὐδὲ σελήνην ἄρα νομίζω εἶναι θεούς; Euripides fragm. incert. I.

ὁρᾷς τὸν ὕψου τόνδ' ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις.
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Et in Cyclope v. 519.

ὁ Βάκχιος δέ τις θεὸς νομίζεται;

Ita ibi scribendum, non τίς θεός. Recte vero etiam idem Ernestius quomodo intelligendum sit, si τὸν Δία legatur, indicat. Similiter Soph. Antig. 189.

ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.

Et Eurip. Hec. 800.

νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα.

Sed ut potuerit hic dici τὸν Δία, nihilominus ex usitato more dicendi scribendum, τὸ Δία νομίζειν. Eodem modo emendasse postea cognovi Valekenarium in Diatr. de Aristobulo p. 4. Ita in Avibus v. 5 seqq.

τὸ δ' ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον
ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια.
τὸ δ' ἐμὲ κολοιῷ πειθόμενον τὸν δύςμορον
ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.

Et cum negatione supra in Nubibus v. 269.

τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν δύστηνον ἔχοντα.

Et in Ranis v. 741.

τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς,
ὅτι δοῦλος ὢν ἔφασκες εἶναι δεσπότης.

Accedit quod ita vel maxime loqui solent praegresso genitivo admirationem significante. Eccles. 787.

τῆς μωρίας,
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη
ἐπαναμένειν.

Xenophon Cyrop. II. 2, 3. τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν. Vide ad Viger. p. 702.

819. L. τί δή. ERN. Rav. δαὶ pro δέ. Cod. Dorvill. τί δῆτ' ἐγέλασας.

820. Respicitur hic locus in Bekkeri Anecd. p. 22. 3. In iis-

ὅμως γε μὴν πρόςελθ', ἵν' εἰδῇς πλείονα,
καί σοι φράσω τι πρᾶγμ', ὃ μαθὼν ἀνὴρ ἔσει.
ὅπως δὲ τοῦτο μὴ διδάξεις μηδένα.

ΦΕΙΔΙΠΠΙΔΗΣ

ἰδού, τί ἐστιν;

ΣΤΡΕΨΙΑΔΗΣ

ὤμοσας νυνὶ Δία;

ΦΕΙΔΙΠΠΙΔΗΣ

ἔγωγ'.

ΣΤΡΕΨΙΑΔΗΣ

ὁρᾷς οὖν, ὡς ἀγαθὸν τὸ μανθάνειν; 825
οὐκ ἔστιν, ὦ Φειδιππίδη, Ζεύς, ἀλλά τις

---

dem p. 83, 1. ex Aristophanis Nubibus affertur ἀρχαϊκῶς, quod in hac quam habemus recensione non invenitur. Et ibidem p. 449, 10. (Bachm. Anecd. vol. I. p. 148, 26.) scriptum: ἀρχαϊκόν. καὶ πάντα τὰ τοιαῦτα διὰ τῶν δύο ι. Νεφέλαις Ἀριστοφάνης· ὡς παιδάριον εἶ καὶ φρονεῖς ἀρχαϊκά. Ita etiam Phrynichus praecipit p. 39. ad quem videnda quae copiosissime attulit Lobeckius. Conf. etiam Buttm. gramm. Gr. vol. II. p. 340. Fortasse ipsa in urbe Athenarum alii haec aliter pronunciabant.

821. Compara Euripid. Alc. 782. δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.

822. Vulgo, καί σοι φράσω πρᾶγμ' ὃ σὺ μαθὼν ἀνὴρ ἔσει. Nihil in his est quod reprehendi possit. Sed tamen, ut in re quam magni momenti esse credit Strepsiades, perelegans est, quod Ravennas, Venetus, Harleianus, Baroccianus 127. et tertius Dobraei praebent, τι πρᾶγμ'. Id recipiendum duxi, deleto σύ, quod omittit tertius Mutinensis.

823. διδάξῃς] Ib. διδάξῃ. ERN. Διδάξεις e Dawesii observatione primus edidit Brunckius. Vide quae dixi de particula ἂν lib. II. c. 12. in Diar. class. LXX. p. 226. Coniunctivum servant Rav. Ven.

1440. *σὺ δ' ἐγχανὼν τεθνήξει*] *Tu autem prae risu morieris.* v. Suid. in *ἐγχανών*. ERN. Libri *τεθνήξει*. Suidas et editus et MS. apud Porsonum *τεθνήξῃ*. Dawesius in Misc. crit. p. 93. (148. seq. ed. Kidd.) *τεθνήξεις*, quod recepi, ab Elmsleio ad Ach. 590. iis argumentis communitum, quibus aegre reluctere.

1441. Mut. 1. *ἄνδρες*.

1442. *τἀπιεικῆ*] Adverbii loco *ἐπιεικῶς* dixit: mihi iis, quae dicit, *comiter* cedendum videtur. ERN. Fallitur. Hoc dicit, illos quoque suo iure uti decet.

1445. Omittunt *γ'* Ib. Elbing. Dorv. Rav. Ven. Tum Rav. *ἀπεχθέσει*.

1446. *δή*] Ia. *οὖν*. R. porro delet *δή*. Ia. et L. *εἴτι*. ERN. Vulgo: *πῶς δή; δίδαξον γάρ, τί δή μ' ἐκ τούτων ἐπωφελήσεις.* Pro priore *δὴ* Bar. 43. et Dobraei 5. *νῦν*. MS. Arund. et Brunckii codex, *ἐκ τούτων ὠφελήσεις*. Quartus Regius, Bergianus, Dobraei 2. 6. aliique, *τί μ' ἐκ τούτων ὠφελήσεις*. B. *πῶς; δίδαξον γὰρ ἤν τι μ' ἐκ τούτων ὠφελήσῃς*. Bentleius, *τί δή μ' ἐκ τῶνδ' ἐπωφελήσεις*. Bar. 43. Dobraei 5. *δίδαξον γὰρ εἴτι μ' ἐκ τούτων ὠφελήσεις*. Sic etiam, sed omisso *γάρ*, Leid. et Mut. 6. Sed primus Dobraei,

ΦΕΙΔΙΠΠΙΔΗΣ

τὴν μητέρ', ὥσπερ καὶ σέ, τυπτήσω.

ΣΤΡΕΨΙΑΔΗΣ

τί φῄς; τί φῄς σύ;

τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.

ΦΕΙΔΙΠΠΙΔΗΣ

τί δ', ἢν ἔχων τὸν ἥττω

λόγον σὲ νικήσω λέγων,

τί μ' ἐκ τούτων σύ γ' ὠφελήσεις. Brunckius recte ex A. C. reposuit, τί μ' ἐκ τούτων ἐπωφελήσεις, idque etiam Ravennas et Venetus habent.

1447. τί δῆτα] Τί φῄς, τί φῄς σύ. ERN. Non addidit Ernestius codicis notam, unde haec lectio ducta. Sed recte eam Brunckius reposuit ex A. C. Quartus Regius Ven. Dobraei 1. 3. τυπτήσω. τί φῄς σύ. Vulgatum τί δῆτα φῄς σύ servant Mut. b. c. Dobraeique 2. 5. 6.

1448. ἔχων] R. ἔχω. ERN. Vulgo hic versus in duos divisus est hoc modo,

τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.
τί δ', ἢν ἔχων τὸν ἥττω,

quam rationem sequutus est etiam Brunckius. At in medio systemate dimetrorum non est locus catalectico versui. Quare verissime liber Ravennas haec verba omnia in unum tetrametrum catalecticum coniunxit, quo metro superiores versus sunt. Commemorat hanc descriptionem etiam scholiastes. Inde demum sequitur systema dimetrorum. Caeterum τί δῆτ' ἢν ἔχων τὸν ἥττω scriptum in Rav. ut ait Invernizius: (Bekkerus ex eo τί δῆτ' ἀνέχων notavit:) tum in Bar. 127. Dobraei 1. 3. nisi quod hic tertius ἔχω τὸν ἥττον, sic. Ἔχω etiam Bar. 43. et Dobraei 3. Mox omittit Rav. λόγον: in Bar. 43. Dobraeique tertio deest λέγων. Eius quintus: Φει. τί δ' ἢν ἔχω τὸν ἥττω σε νικήσω λέγων. Στρ. τὴν μητέρ' ὡς τύπτειν χρεών; Φει. τί δ' ἄλλο γ'. Στρ. ἢν ταῦτα, sic. Eadem personarum distinctio in Bar. 43. Porsoni Harleianus, τί δῆτα ἤν. Venetus, τί δῆτ' ἂν ἔχων. Non male legeretur, τί δῆτ' ἄν, ἢν τὸν ἥττω λόγον σε νικήσω λέγων. Ad sententiam explicandam recte notavit Brunckius, Strepsiadi, homini ineptis philosophorum subtilitatibus non imbuto, maiorem videri impietatem, quae in matrem, quam quae in patrem committatur; contrarium autem docuisse philosophos, qui patrem praecipuam procreationis caussam dictitarent; in iisque ipsum Euripidem fuisse, cuius locos commemoravit Valckenarius in diatriba de fragm. Eurip. p. 29.

1449. Rav. omittit λόγον.

τὴν μητέρ' ὡς τύπτειν χρεών; 1450

ΣΤΡΕΨΙΑΔΗΣ

τί δ' ἄλλο γ'; ἢν ταυτὶ ποιῇς,
οὐδέν σε κωλύσει σεαυ-
τὸν ἐμβαλεῖν ἐς τὸ βάραθρον
μετὰ Σωκράτους,
καὶ τὸν λόγον τὸν ἥττω. 1455
ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγώ,
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.

ΧΟΡΟΣ

αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.

ΣΤΡΕΨΙΑΔΗΣ

τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύετε, 1460

1450. Hunc versum omittit Ernestii C.

1451. ταυτὶ] R. ταῦτα et v. seq. σαυτόν. ERN. Ven. τί δῆτ' ἄλλο γ' ἢν ταύτην ποῇς.

1452. Hic versus in Brunckiana aeque ut in caeteris edd. trimeter est, quem sequitur dimeter,

οὐδέν σε κωλύσει σεαυτὸν ἐμβαλεῖν
ἐς τὸ βάραθρον μετὰ Σωκράτους.

At trimetro quum nullus locus sit in systemate dimetrorum, nos ea usi sumus versuum descriptione, quam posuerat iam Dawesius in Misc. crit. p. 189. (345. ed. Kidd.) Σαυτὸν etiam Ravennas habet, Venetus ἑαυτόν. In Elbingensi σὲ abest, et scriptum τοῦ ἐμβαλεῖν.

1454. Σωκράτους] Ib. τοῦ Σωκράτους e glossa. ERN.

1456. ἐγὼ] Ia. L. Bar. 43. omittunt ἐγώ.

1458. σὺ τούτων] Ia. et Ib. Dorv. omittunt. Rav. Ven. Bar. 127. σὺ σαυτῷ σύ.

1459. σεαυτὸν] R. ἑαυτόν, quod et ipsum rectum est. ERN. Ἑαυτὸν Mut. a. et membranae Brunckii. Si recte observavi, ἑαυτὸν distinctioni potius personarum inservit: ut hic vulgatum servari oporteat. Ravennas et Venetus, ἐς τὰ πονηρά.

1460. ἠγορεύετε] R. ἠγορεύσατε. L. Ia. versum sic habent τί δῆτα τοῦτ' οὔ μοι τότ' ἠγορεύετε; ERN. Vulgo ταῦτά γ' οὔ μοι τότ', et sic Dorv. C. D. aliique codd. Kusterus μοι omisit. B. τί δὴ ταῦτ' οὔ μοι τότ' ἠγορεύετε; Brunckius e membranis edidit, τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύσατε, quod etiam MS. Vat. et Venetus habent. Idem est in Ravennate, Veneto, Borgiano, Dorv. Dobraei 1. 5. nisi quod, praeter Venetum, habent ἠγορεύετε, in quo fere omnes libri consentiunt. In Dobraei 2. adnotatum γρ. καὶ ἀγορεύσατε.

ἀλλ᾽ ἄνδρ᾽ ἄγροικον καὶ γέροντ᾽ ἐπήρετε;

ΧΟΡΟΣ

ἀεὶ ποιοῦμεν ταῦθ᾽ ἑκάστοθ᾽, ὅντιν᾽ ἂν
γνῶμεν πονηρῶν ὄντ᾽ ἐραστὴν πραγμάτων,
ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακόν,
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι. 1465

ΣΤΡΕΨΙΑΔΗΣ

ὤμοι, πονηρά γ᾽, ὦ Νεφέλαι, δίκαια δέ.
οὐ γάρ μ᾽ ἐχρῆν τὰ χρήμαθ᾽ ἁδανεισάμην
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτην
ἀπολεῖς μετελθών, οἳ σὲ κἄμ᾽ ἐξηπάτων. 1470

1461. καὶ γέροντ᾽ ἐπήρατε] Ia. invertit ordinem; ἐπήρατε καὶ γέροντα. ERN. Bar. 43. Dobraei quintus, Mut. 2. ἄγροικον ἐπήρατε καὶ σκαιόν, omissis καὶ γέροντ᾽. Bekkerus ex Ravennate ἐπήρετε. Caeteri libri scripti et editi ἐπήρατε.

1462. τινα] L. τινοῦν. ERN. Edd. ἑκάστοτ᾽ ὅτ᾽ ἄν τινα. Brunckius ex A. C. D. edidit ἑκάστοθ᾽ ὅταν τινά. B. quartus Regius, Elbingensis, Porsoni Harleianus, Bar. 127. 43. Dobraei 2. 3. 5. 6. Mut. b. c. ἑκάστοτ᾽ ἄν τιν᾽ οὖν. Caeterum Ravennas et Venetus ἡμεῖς ποοῦμεν. Vulgatum defendit Porsonus ad Hecub. 1167. ubi simul emendate scripsit ὅντιν᾽ ἄν.

1464. ἕως ἂν] Edd. vett. omittunt ἄν. R. et a correctore Dobraei secundus ἐςβάλωμεν. Bar. 127. εἰς κάκον. Vide Reisig. Coni. p. 252.

1466. Vulgo οἴμοι. Codd. ὤμοι.

1467. Rav. με χρή.

1469. Codd. et nonnullae edd. Σωκράτην. Aliae edd. Σωκράτη.

1470. Vulgo μετ᾽ ἐμοῦ γ᾽ ἐλθ᾽, οἳ σὲ κἄμ᾽ ἐξηπάτων. Sic unus Brunckii, Dobraei 2. 5. 6. Dorv. in quo supra scriptum ἤγουν ἐλθών. Ac μετ᾽ ἐμοῦ γ᾽ ἐλθὼν est in Brunckii B. Rav. Ven. Arund. Dobraei primo, marg. ed. Caninii, et ed. Iunt. a. 1515. habentque idem omisso γ᾽ Brunckii A. C. quartus Regius, Porsoni Harleianus, Bar. 127. Dobraei tertius. Tum ἐλθ᾽ οἴκαδ᾽ οἵ σε Ia. Bar. 43. Dobraei quintus. Denique Ven. κἀμέγ᾽ ἐξηπάτουν, quam verbi formam etiam Ravennas habet. Leidensis, οἳ κἄμ᾽ ἐξηπάτων. Has scripturas consideranti, reputantique primariam in his sententiam esse debere ὅπως ἀπολεῖς, *perde*, non ἐλθέ, *ut perdas*, vix poterit dubium esse quin prava interpretatio verbi μετελθὼν caussa fuerit, ob quam, quum ἐμοῦ in textum venisset, metrici corrigere versum tentaverint. Illud igitur reposui.

ΦΕΙΔΙΠΠΙΔΗΣ

ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.

ΣΤΡΕΨΙΑΔΗΣ

ναί, ναί, καταιδέσθητι πατρῷον Δία.

ΦΕΙΔΙΠΠΙΔΗΣ

ἰδού γε Δία πατρῷον· ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἔστιν;

ΣΤΡΕΨΙΑΔΗΣ

ἔστιν.

ΦΕΙΔΙΠΠΙΔΗΣ

οὐκ ἔστ', οὔκ· ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς. 1475

ΣΤΡΕΨΙΑΔΗΣ

οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην,

1472. Brunckius, ne πατρῷον prima producta esset, καταιδέσθητί γε scribendum putabat. At monuit Porsonus ad Med. 1314. integrum versum Euripidis esse, (de ναὶ ναὶ ego quidem haud affirmaverim) disputans ille de Iove πατρῴῳ, de quo vide quae dixi ad Soph. Trach. 287. Adde Lobeckium in diss. I. de Tritopatoribus p. 6. seq. qui apposite afferens commemoratum a Porsono ad Med. 1314. Platonis locum ex lib. IX. de legg. p. 881. D. de iis qui patrem matremve verberare ausi sint, ὁ δὲ μὴ ἀμύνων ἀρᾷ ἐνεχέσθω Διὸς ὁμογνίου καὶ πατρῴου κατὰ νόμον, versum, quo utitur Aristophanes, Herculis esse Hyllum obtestantis vel Priami Achilli supplicantis vel alius in simili casu constituti patris coniicit.

1474. R. ἔνεστιν. L. Ia. οὐκ ἐστί γ' ἐπεί. ERN. Pro τις in Rav. τι, in Ven. τί. Tum vulgo, οὐκ ἔνεστ', ἐπεί, et sic Borgianus aliique codd. Alii οὐκ ἔστι γ' vel οὐκ ἔστιν γ'. Hoc exhibuit Brunckius. Male rem gesserat Toupius Em. ad Suid. vol. I. p. 466. Porsonus οὐκ ἔτ' ἔστ' in Adversariis p. 225. Aliam eius adnotationem, qua hanc emendationem firmaret, Dobraeus edidit p. 54. qui tamen probavit receptam iam olim a me scripturam libri Ravennatis οὐκ ἔστ', οὔκ, ἐπεί. Bekkerus ex Ravennate ut ex Veneto attulit, οὐκ ἔστιν οὐκ ἐπεί.

1475. Iisdem verbis ridet patrem, quibus ipse irrisus ab eo fuerat v. 827.

1476. Elbingensis ἐξελήλακεν. Deinde libri editi et MSS. ne Ravennate quidem excepto, ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην διὰ τουτονὶ τὸν δῖνον, praeter membr. in quibus est ταῦτ' ᾠόμην, sollemni varietate, et B. in quo scriptum δία τουτονί. In Rav. et Veneto δια sine accentu est. Kusterus autem et Bentleius, quod inepte dicat Strepsia-

διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος,
ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.

---

des, se Iovem ab Dino expulsum credidisse propter hunc Dinum, ita emendarunt, ἀλλ' ἐγὼ τότ' ᾠόμην Δία τουτονὶ τὸν δῖνον. Idque Brunckius recepit. Ac sane perelegans haec emendatio est. Nos tamen vulgatam lectionem, quae etiam veterrimi libri Ravennatis auctoritate firmatur, servandam esse rati sumus. Nam Bentleii quidem mira vis est in indagandis iis, quae quoque in loco inepta videri possunt: qui si rem alia ratione considerasset, saepe mutaturus erat sententiam: cuiusmodi multa in Horatio exempla sunt. Atque hic equidem vereor, ne Bentleiana lectio non satis apta sit. Primum enim falsum hoc est, Dinum a Strepsiade pro Iove habitum esse. Immo planissime crediderat, non Iovem amplius esse, sed alium eius loco novum exstitisse deum, nomine Dinum. Inde v. 379. dicit,

Δῖνος; τουτί μ' ἐλελήθη,
ὁ Ζεὺς οὐκ ὤν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνος νυνὶ βασιλεύων.

et v. 825.

Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς,

quibus statim addit,

ἴσθι τοῦθ' οὕτως ἔχον,

et quae sequuntur. Eamque sententiam confirmant etiam versus 1480. 1481. Quare nunc, quum hoc ipsum dictum ei exprobret filius, non recte se excusabit eo, quod Dinum pro Iove habuerit, sed rationem afferre debebit, quare Dinum istum, non Iovem, regnare crediderit. Deinde vulgata lectio tantum abest ut inepta sit, ut, si recte intelligatur, haud parum etiam habeat elegantiae. Nam non nimis premenda est activa verbi ἐξελήλακε significatio, quae ex eo tantum pendet, quod Phidippides activa forma dixerat ἐξεληλακώς: sed totam mentem spectare oportet, quae haec est, Iovem expulsum esse. Hoc enim dicit Strepsiades: non expulit Dinus Iovem: sed ego hunc expulsum credebam, propter istum Dinum, quem nimirum Socrates mihi pro deo obtruserat: verum stultus fui, qui hoc fictile vas deum esse sim arbitratus. Caussa enim, quare Iovem nullum esse crederet, ille ipse Dinus erat, quem Iovis loco in regno constitutum putabat. Ac verba διὰ τουτονὶ τὸν Δῖνον cum faceta quadam indignatione profert, quo ipse tam futilem rationem irrideat. Quod si apta vox histrionis et gestus rei accommodatus accedat, nemo non sentiet, puto, maiorem etiam in vulgata, quam in Bentleiana lectione virtutem comicam inesse. Nam verba illa, διὰ τουτονὶ τὸν Δῖνον, commate post ᾠόμην posito, celerius et cum contemptu quodam pronuncianda sunt, ut ipsa vocis moderatione argumenti absurditas declaretur.

1478. χυτρεοῦν ὄντα] L. Ia. τ' ὄντα. ERN. Sic etiam Mut. b. Dobraei quintus, Bar. 43. Patet τ' scriptum esse pro γ'. Initio

ΦΕΙΔΙΠΠΙΔΗΣ

ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα.

ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

Οἴμοι παρανοίας· ὡς ἐμαινόμην ἄρα, 1480
ὅτ' ἐξέβαλλον τοὺς θεοὺς διὰ Σωκράτην.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ,
καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν 1485
διωκάθω γραψάμενος, εἴθ' ὅ τι σοι δοκεῖ.
ὀρθῶς παραινεῖς οὐκ ἐῶν δικοῤῥαφεῖν,

---

versus Brunckius dedit ὅτι, quod est in Elbing. Dorv. Dobraei 4. 6. et fortasse aliis. Sed recte vulgo ὅτε, quod servant quum caeteri codd. tum Rav. et Ven. Χυτρεοῦς a χυτρεὺς formatum nomen, ut κεραμεοῦς. De figura δίνου v. Athenaeus XI. p. 467. D. et Pollux VI. 99.

1479. Vulgo φληνάφει, ut Dobraei codd. omnes et tres Mutinenses atque, ut videtur, plerique alii libri: quam formam habent Thomas M. et Suidas, φληναφεῖ, φλυαρεῖ: sed Hesychius φληναφᾷ, φλυαρεῖ, μωρολογεῖ. Ac φληνάφα Brunckius recte e membranis edidit, quod habent etiam Ravennas et Venetus. Eaque forma Aristophanes in Equitibus quoque usus est v. 664. ubi unus codex ἐφληνάφει.

1481. Vulgo ὅτ' ἐξέβαλον καὶ τοὺς θεούς. Mut. a. pro quo in ed. Bekkeri Ravennas nominatus, ὅτ' ἐξέβαλλον τοὺς θεούς, omisso καί. Id servantes Porsoni Harl. Bar. 127. Dobraeique tertius et Venetus, tamen ἐξέβαλλον praebent. Aptius hic imperfectum esse, nemo non videat. Σωκράτην Brunckius cum codd. et nonnullis edd. antiquis pro vulgato Σωκράτη.

1483. μηδέ μ'] R. μηδ' ἔμ'. ERN.

1484. Venetus et Dobraei primus παρανομήσαντος. In Dobraei illo supra scriptum γρ. παρανοήσαντος, quae vulgata scriptura est, explicata a scholiasta. Refertur illa ad οἴμοι παρανοίας v. 1480.

1485. καί μοι] Καί μου R. ERN. Ita etiam Ravennas.

1487. Hic intelligendus est Strepsiades aliquamdiu silere et cogitabundus stare, deinde, velut ab admonitu Mercurii, corrigere se et aliam insistere viam consilii. ERN. Apte comparavit Brunckius Plautum in Menaechm. V. 2, 87. et 95. seqq. Aristophanis autem locus in Lysistrata v. 634. quem idem commemoravit, huc non pertinet.

ἀλλ' ὡς τάχιστ' ἐμπιμπράναι τὴν οἰκίαν

1488. Vulgo ἐμπιπράναι, quod servant Rav. et omnes Dobraei praeter quintum. Ven. ἐμπιπρᾶναι. Bar. 127. a prima manu ἐμπιμπράναι. Ita cum Brunckio scripsimus, quem vide ad Lysistr. 311. Quid de his formis sentirem, paucis verbis indicavi ad Eurip. Ion. 941. quae qui consideraverit, non, si ἐμπιπρῶ potius quam ἐμπιμπρῶ dictum est, etiam ἐμπιπράναι dictum esse credet; quam formam quum nuper Fritzschius meus in commentatione prima de Atticismo et orthographia Luciani p. 5. vindicare Atticis conabatur, ratione ille usus est ingeniose quidem inventa, sed tamen, ut mihi videtur, non vera. Putavit enim, ut in πείσομαι, τύπτουσι, τύψασι, πᾶσι, brevis vocalis cum littera ν coniuncta in longam mutata est, sic ἐμπίπλαμαι, ἐμπίπραμαι eamdem subiisse mutationem, ac proinde ι habere productum. At primo in exemplis, quorum comparatione utitur, non μ, sed ν extritum fecit ut brevis vocalis in longam vel dipthongum converteretur: deinde vero, quod etiam gravius est, littera ista ν vel verborum illorum, ut σπένδω, vel temporum, ut τετύφαντι vel casuum, ut τυψάντεσι propria est, non adventitia, ut illud μ, quod, suavioris pronunciationis caussa insertum, non est pars naturalis verbi. Quare ubi eiicitur, manet sua praegressae vocali mensura, ut in ἄβροτος, ἀβροτάξομεν, ἀπλακεῖν. Non aliam autem ob caussam quam propter suaviorem pronunciationem illud μ inseri, res ipsa docet. Nam quum duo sint modi, quibus productiora fiant verba, unus, quo in medio augescunt, de quo dictum in Etymol. M. p. 566, 24. hic in eo est positus, ut longa vocali in brevem mutata accedat consonans iustae mensurae explendae caussa: qualia sunt λαγχάνω, τυγχάνω, λαμβάνω, λιμπάνω, ἁνδάνω, λανθάνω, μανθάνω, πανθάνω, πυνθάνομαι. Alter modus est, quo verba per reduplicationem ab initio incrementum accipiunt, quod fit syllaba brevi, ut in πιπίσκω, πιπράσκω, πιφαύσκω. Huiusmodi verba quum terminantur in μι, si sunt trisyllaba, quo fit ut prima syllaba accentum accipiat, productionem amant eius syllabae, ut quae ipsum propter accentum fortius pronunciari poscat. Sed quoniam vocalis, quae reduplicationis propria est, natura sua non potest longa esse, consonantem adsciscunt, nisi prima verbi consonans aut respuat eius accessionem, aut, sequente alia consonante, pronunciationem molestam reddat. Hinc δίδωμι, τίθημι, κίχρημι dicuntur, non accedente consonante alia. Contra πίμπλημι, πίμπρημι, πίλνημι, πίτνημι, κίρνημι, πέρνημι, inserta vel ante propriam verbi litteram vel post eam consonante cognata vel aliter apta suaviorem pronunciationem habere sunt visa. Eadem ratione formata sunt ἕννυμι atque alia, quae forma duplicato ν servata est etiam longa vocali praegressa: de qua ratione disputavit Buttmannus in gramm. Gr. vol. II. p. 38. seq. falsus ille tamen in mensura

τῶν ἀδολεσχῶν. δεῦρο, δεῦρ', ὦ Ξανθία,
κλίμακα λαβὼν ἔξελθε καὶ σμινύην φέρων, 1490
κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον,
τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην,
ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν.
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην 1495
ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἴσ' ἀλαζόνες.

ΜΑΘΗΤΑΙ. ΣΤΡΕΨΙΑΔΗΣ. ΣΩΚΡΑΤΗΣ. ΧΑΙΡΕΦΩΝ.

ΜΑΘΗΤΗΣ α'.

Ἰοὺ ἰού.

ΣΤΡΕΨΙΑΔΗΣ

σὸν ἔργον, ὦ δᾴς, ἱέναι πολλὴν φλόγα.

---

verbi τίννυμι. Caeterum conficit rem correpta syllaba in πιπλάντων apud Aeschylum Choeph. 359. Recte illa ratio, quam memoravit Fritzschius, ad verba γίνεσθαι et γινώσκειν adhiberi potuit, ut in quibus γ ad ipsas verborum illorum radices pertineat.

1489. Ἀδολέσχαι usitata philosophorum appellatio: v. Ruhnk. ad Xen. Mem. Socr. I. 2, 31.

1490. De vocabulo σμινύη videndi Ruhnkenius ad Tim. Lex. Plat. p. 233. et Lobeckius ad Phryn. p. 302.

Deest ἔξελθε in Porsoni Harl. Bar. 43. 127. Dobraei 3. 5. Mut. 2. ex quibus Dobraei quintus mox φέρε habet, quod in Mut. 2. supra scriptum.

1491. Quartus Regius, Dobraei tertius, Porsoni Harl. Bar. 127. κἄπειτ' ἀναβάς. Primus Dobraei κἄπειτά γ' ἀναβάς.

1493. Brunckius hoc loco hunc versum collocavit, auctoritate membr. et C. Atque ita Vaticanus, Ravennas, Venetus et plerique alii. In Brunckii codice, quarto Regio Bar. 43. Mut. c. et sex Dobraei libris, hic versus, ut vulgo, ante versum 1492. collocatus est, indicato in tribus eorum, transponendos esse. In Bar. 43. et quinto Dobraei legitur αὐτῶν. Omissus est versus in B.

1495. τιν' αὐτῶν] Ia. Bar. 43. Mut. 2. Dobraei 5. αὐτούς.

1496. Vulgo κἂν σφόδρ' εἴσ', et sic aliquot codd. Eo spectat ὦσ', quod est in Ernestii C. Ib. et Dobraei sexto et Brunckii codice. Tum Leid. Bar. 43. Dobraei 5. et, ut videtur, Mut. b. σφόδρα γ' quod e B. recepit Brunckius. Brunckii codex κἂν σφόδρ' ὦσ' ἀλαζόνες. A. C. quartus Regius, Ravennas, Venetus, Borgianus, aliique κεἰ σφόδρ' εἴσ' ἀλαζόνες.

ΜΑΘΗΤΗΣ α΄.

ἄνθρωπε, τί ποιεῖς;

ΣΤΡΕΨΙΑΔΗΣ

ὅ τι ποιῶ; τί δ' ἄλλο γ', ἢ
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας; 1500

ΜΑΘΗΤΗΣ β΄.

οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;

ΣΤΡΕΨΙΑΔΗΣ

ἐκεῖνος, οὗπερ θοἰμάτιον εἰλήφατε.

ΜΑΘΗΤΗΣ γ΄.

ἀπολεῖς, ἀπολεῖς.

ΣΤΡΕΨΙΑΔΗΣ

τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών. 1505

ΣΩΚΡΑΤΗΣ

οὗτος τί ποιεῖς ἐτεόν, οὑπὶ τοῦ τέγους;

ΣΤΡΕΨΙΑΔΗΣ

ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.

1499. ὅ τι ποιῶ] R. ὅ τι ποῶ. ERN. Sic etiam alii libri. Praecedentia verba in Dobraei primo Socrati tribuuntur. Ὅτι ποιῶ et sequentia in Veneto servi sunt.

τί ἄλλο γ' ἢ] Ib. τί δ' ἄλλο γ' recte. ERN. Ita etiam MS. Vat. et reliquis ut videtur codd. omnibus, atque edd. Ald. Iunt. Basil. Brubach. et Brunckiana. Omissum δ' in edd. Farr. Cratandr. Raphel. Perti, Frischlini et reliquis.

1500. διαλεπτολογοῦμαι] V. Suid. in h. v. ERN.

1501. In libro Ravennate hic versus et mox verba ἀπολεῖς, ἀπολεῖς, Socrati tribuuntur. Sed recte Brunckius ea alteri cuipiam Socratis discipulo assignavit. Nam Socrates, philosophicis subtilitatibus occupatus, magna cum gravitate versu demum 1506. interrogat, quid in tegulis rimetur Strepsiades.

1503. Apud Suidam v. σμινύην etiam in MS. apud Porsonum deest γάρ, servatum illud apud eumdem v. ἤν. Contra Rav. et Ven. omittunt καί.

1507. Hic versus in Rav. et Veneto servi est. Irridet Strepsiades Socratem, qui eadem dixerat supra v. 226.

ΣΩΚΡΑΤΗΣ

οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι.

ΧΑΙΡΕΦΩΝ

ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.

ΣΤΡΕΨΙΑΔΗΣ

τί γὰρ παθόνθ' ὑβριζέτην εἰς τοὺς θεοὺς 1510

καὶ τῆς Σελήνης ἐσκοπεῖσθον τὰς ἕδρας;

1508. ἀποπνιγήσομαι] Ib. ὑποπνιγήσομαι. ERN. Τάλας et δείλαιος sic disiunctim consociata, ut in Pluto v. 850. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.

1509. Hic v. in ed. Bas. subiicitur v. 1510. ERN. Ita etiam reliquae vett. edd. Ordinem versuum ex MSS. Vat. et Arund. mutavit iam Kusterus, accedentibus, ut videtur aliis codd. nominatim Rav. Ven. Bar. 43. et Dobraei quinto. Liber Ravennas hunc versum adscribit discipulo. Ven. ἕτερος φιλόσοφος.

1510. μαθόνθ'] Ed. Canin. μαθών, vitiose: unde stellula praefixa. Ia. delet γ' male. R. μαθόντες τοὺς θεοὺς ὑβρίζετε. C. totum versum omittit. ERN. Primae edd. τί γὰρ μαθὼν ὑβριζετόν γ' ἐς τοὺς θεούς; Recentiores e Biseti emendatione μαθόνθ': ac B. quartus Regius, Porsoni Harl. Bar. 43. 127. Dobraei 3. 4. 5. Arund. τί γὰρ μαθόνθ' ὑβρίζετον ἐς τοὺς θεούς; nisi quod aliqui eorum εἰς. Ita etiam in Brunckii codice, nisi quod μαθόντ' habet. Borgianus, τί γὰρ μαθόντ' ὑβρίζετόν γε τοὺς θεούς. Mut. c. τί γὰρ μαθόντ' ὑβρίζετόν γ' εἰς τοὺς θεούς, quae est etiam Dobraei 2. et 6. scriptura, sed hi μαθόνθ'. MS. Vat. τί γὰρ μαθόντες τοὺς θεοὺς ὑβρίζετον; Membr. C. Ravennas. Bav. Mut. a. τί γὰρ μαθόντες τοὺς θεοὺς ὑβρίζετε, quod Brunckius non improbabat: ipse ex coniectura dedit, τί γὰρ μαθόντ' ἐς τοὺς θεοὺς ὑβρίζετον. Et sic Dobraei primus et margo ed. Caninii, nisi quod εἰς praebent. Venetus, τί γὰρ μαθόντες εἰς τοὺς θεοὺς ὑβρίζετε. Perturbationem huius versus omnem ex eo ortam esse, quod scribas fugerat genuina forma ὑβριζέτην, pulcre perspexit Elmsleius ad Ach. 733. quem vide etiam ad Med. 1041. 1334. not. f. XXI. Praeterea Brunckius τί γὰρ παθόντ' emendandum censuit. Atque in Dorv. supra scriptum est παθόντες, in Bar. 43. autem adnotatum, γρ. τί γὰρ παθόντες ὑβρίζετε εἰς τοὺς θεούς. De ea formula dictum in praefatione: item de Reisigii sententia, qui huic versui alium, quem ex Photio et Suida petiit, praemittendum censebat.

1511. Brunckius ex A. C. ἐσκοπεῖσθον edidit, quod habet etiam Dobraei primus. Vulgo ἐσκοπεῖσθε: et sic Rav. Ven. Mut. b. c. Sed quartus Regius, Harleianus, et, ut videtur, Barocc. 127. tum Dobraei tertius ἐσκοπεῖτε τὰς ἕδρας. Edd. et plerique codd. τὴν ἕδραν. Pluralem praeferendum censebat Brunckius, singularem Elmsleius

δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
μάλιστα δ' εἰδὼς τοὺς θεοὺς ὡς ἠδίκουν.

ΧΟΡΟΣ

ἡγεῖσθ' ἔξω· κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν.

---

ad Ach. 733. item Dobraeus, qui ex eo, quod in scholiis et τὰς κινήσεις et τὴν περιφορὰν invenitur, etiam τὰς ὁδοὺς e v. 172. vel τὴν ὁδὸν lectum esse coniecit. At haec sumpta sunt ex v. 172. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς καὶ τὰς περιφοράς. Eidem Dobraeo, ut scholiastae, τὴν ἕδραν visum est κακέμφατον continere: ad quem finem affert Thesm. 140 (133). Id vix isto quidem exemplo cuiquam persuadebitur. Nos quidem ἐσκοπεῖσθον τὰς ἕδρας servandum putavimus. Nam veri simile est, eos qui in praecedente versu ὑβρίζετε pro ὑβριζέτην scripserunt, hic quoque restituisse pluralem. Sed dubitari potest an praestet ἐσκοπείτην.

1512. Venetus huic versui praefigit ἑρμῆς. In ed. Bekkeri ex Ravennate: ερμ. δίωκε: ex Veneto autem: ἑρμῆς: παῖε βάλλε. Et hoc ordine παῖε βάλλε etiam Mut. a. et a correctore Dobraei secundus.

1513. Si quidquam est in hac fabula, quo nocere Socrati Aristophanes et vere invidiam conflare potuerit, est is hic versus. Nam etsi supra plura et graviora de contemptu deorum, qui in civitate colerentur, dicta sunt, tamen illa omnia, ut solitum erat in comoedia, pro iocis quibus risus captaretur haberi poterant habebanturque: hoc vero, in ipso fine fabulae dictum, aperteque ita comparatum, ut quum pietatem poetae ostendere debeat, serio proferri censeatur, non potest non quasi aculeum quemdam in animis spectatorum relinquere, iure puniri, qui patrios deos nihili faciant, fatentium. Notum est autem, quam facile eiusmodi criminationem arripere Athenienses, quamque severe, ut postea in ipso est Socrate factum, punire consueverint.

1514. MSS. et edd. τόγε τήμερον ἡμῖν. Sed Moeris p. 364. τήμερον εἶναι, Ἀττικῶς. ὡς Νεφέλαις· κεχόρευται γὰρ μετρίως τόγε τήμερον εἶναι. De qua formula ibi Piersonus et Koenius ad Gregor. Cor. p. 73. seq. Vide ad Viger. p. 888.

ΣΧΟΛΙΑ

Ἡ ἔςθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἑξῆς ἐκ προςώπων ἀμοιβαίων· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σνθ' *). ὧν προτίθεται ἐν ἀρχῇ τοῦ δράματος κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐν ἐκθέσει **) κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον· καὶ μετὰ τὸν διακοσιοστὸν τριακοστὸν τρίτον ***), ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον †). τελευταῖος δὲ πάντων τούτων οὗτος·

καταπαττόμενας γὰρ παιπάλη γενήσομαι.

ἐπὶ ταῖς ὑποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.

1. Ἰοὺ ἰού] Σχετλιαστικὸν ἐπίῤῥημα. διὰ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυςφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. ℈ Τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος.

2. Βασιλεῦ] Οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν τὸν ποιητὴν εἰρηκέναι. ἔχεται γὰρ ἱστορίας τοιαύτης. τοῖς Ἀθηναίοις Πυθόχρηστον ††) ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας· προ-

---

*) Sic vulgo. Aldina σμί. Numerantur soli trimetri, omissis brevioribus versibus.

**) Legebatur ἐν εἰςθέσει, unde Reizius haec verba usque ad ἀκατάληκτον aliud scholion esse putabat: sed sic omitteretur versus 223. Ἔκθεσις autem non ultimus versus dicitur, sed posterior pars horum colloquiorum inde a v. 223.

***) Sic recte Aldina. Intelligit v. 236. Vulgo τὸν διακοσιοστὸν εἰκοστόν.

†) Sic Aldus. Vulgo κατάληκτον.

††) Ita Ravennas. Editi Πυθοχρήστως.

στήσασθαι δὲ καὶ σέβειν*) Δία βασιλέα, ὥςτε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. εἰώθασι δὲ ἐπὶ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ Ἀγαμέμνων

προθελύμνους ἕλκετο χαίτας
ὑψόθ' ἐόντι Διΐ**).

Τὸ χρῆμα τῶν νυκτῶν] Τὸ μέγεθος, τὸ ἔκταμα. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος, σπάνιόν τι χρῆμα· καί, γυνή, σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

3. Ἀπέρατον] Μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι. ζητεῖται δέ, πῶς τὰς νύκτας μεγάλας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια· πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται διὰ τὸ φροντίζειν, ὅπερ πάσχειν συμβαίνει τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δέ. συγκεκαλυμμένος γὰρ***) καὶ καθεύδων, ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. ✠ Ἀπλήρωτον, ἀτελείωτον. Glossae Brunck. Ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δέ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ' ἄν τις ἐξελθεῖν. Schol. C.

5. Οἱ δ' οἰκέται ῥέγκουσιν] Οὕτως Ἀττικοὶ διὰ τοῦ κ. Οἰκέτας δὲ νῦν οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἀμεριμνώντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο καὶ τὸ ῥέγκουσιν ἐπήγαγεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν. ✠ Ῥέγκουσι. ἔστι δὲ Ἀττικόν. ἐπεὶ καὶ ῥέγχουσι γρ. τὸ δὲ ῥέγκουσι ἀπὸ τῶν Ἰώνων λέγουσι· λαβόντες, οἵτινες ἀεὶ τὰ δασέα εἰς ψιλὰ τρέπουσι. Harl. 5.

Ἀλλ' οὐκ ἂν προτοῦ] Ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ φησὶν ἐξέπεμπον αὐτοὺς ἐργασομένους, ὡς ὑπὸ τῆς περὶ τὴν γεηπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.

---

*) Verba καὶ σέβειν addit liber Ravennas.

**) Verba εἰώθασι et quae sequuntur cum loco Homerico Iliad. X. 15. addit liber Ravennas.

***) Abest γὰρ ab ed. princ.

6. *Ἀπόλοιο δῆτ', ὦ πόλεμε*] Φασὶν ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργινούσσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε*) ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὥς ἐστι κἀνταῦθα.

8. *Ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσί*] Νῦν οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ' ἐν εἰρωνείᾳ. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥᾳθυμίᾳ μέμφεται;

10. *Ἐν πέντε σισύραις*] Στερεὰ περιβλήματα παχέα, ταῖς νῦν**) καλουμέναις ἐμφερῆ σύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. Ἰστέον, ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια· ὥςτε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. ✠ Σισύρη τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων. Glossae Victor.

Ἐγκεκορδυλημένος] Ἐγκεκρυμμένος. Κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. ✠ Ἐντετυλιγμένος, ἐγκεκρυμμένος. Glossae Br.

11. *Ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν*] Παρεπιγραφή. ποιήσας ἀσχήμονα τὴν ὄψιν, καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥςπερ ἐκεῖνος ἐκάθευδεν. ℐ Ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιειλήμασιν.

12. *Ἀλλ' οὐ δύναμαι*] Ἀλλ' οὐκ ἔπεισί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν.

Δείλαιος] Ἄθλιος, κακοδαίμων.

Δακνόμενος] Ἐνοχλούμενος***) ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι ἵππους τρέφειν· ὅπερ καὶ τῇ Λακωνικῇ προςέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ

---

*) Legebatur vulgo ὅτι. Ὅτε ed. princeps.

**) Vulgo νῦν abest, quod addit ed. princeps.

***) Hoc vocabulum habet etiam glossa Brunckii.

τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει*). τὸ δὲ δακνόμενος ἔλαβεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων καὶ τῶν περιβλημάτων**). τὸ δὲ χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. εἴρηκε δὲ ἀπὸ τῶν κόρεων. Δαπάνην δέ, τουτέστι τὰ δεσμὰ τοῦ χόρτου, ἵνα ἑξῆς καὶ ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ.

14. Ὁ δὲ κόμην ἔχων] Ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἂν τοῖς Ἱππεῦσι (v. 580.)·
μὴ φθονῆθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις.

15. Ἱππάζεταί τε καὶ ξυνωρικεύεται] Νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. Ξυνωρὶς δέ, τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δυοῖν ἵππων συνεστώς· ὁ νῦν δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, καὶ οὕτως ἱππάζεσθαι, ὃν ***) νῦν κέλητα καλοῦσιν. ✠ Ἱππάζεται, ἐν ἵππῳ ὀχεῖται. Ξυνωρικεύεται, ἐπὶ δίφρου φέρεται. Glossae.

16. Ὀνειροπολεῖ θ' ἵππους] Κἂν τοῖς ὀνείροις ἵππους περινοεῖ. τουτέστιν, οὕτω προςτέτηκε τῷ πράγματι, καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥςτε καὶ καθεύδων τὰ ὀνείρατα περὶ ἵππων ὁρᾷ. τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν, ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώττειν, ἐπὶ τῶν νυκτὸς αὐτομάτως ἀφιέντων γόνον· ὅπερ τοῖς ἐρῶσιν ἐκτόπως συμβαίνει, δόξασι τοῖς παιδικοῖς συνεῖναι. ✠ Ἐν ὀνείρασι φαντάζεται. Gl.

17. Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας] Ἢ ὅτι μετὰ εἰκάδα καὶ ὁ μὴν †) προςεγγίζει τῇ τριακάδι, καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται· ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ Ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν.

---

*) Habet Suidas in δακνόμενος· οἰκοδομάσε λάβοι, καὶ ἀμβολά, ὅ τε ἵππος, καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι.

**) Sic Ald. Vulgo περιειλημάτων.

***) Legebatur ὅ, hic et apud Suidam in ἱππάζεται. Reizius verba καὶ οὕτως ἱππάζεσθαι delenda putabat, quae ne Suidas quidem habet. Kusterus scribi volebat ὃ νῦν κελητίζειν καλοῦσιν.

†) Legebatur ὁ μὴν καί. Mox μυστικαὶ δαπάναι quid essent, non intelligere se dixit Ruhnkenius in adnotationibus a Tittmanno editis p. 129. Videtur scholiastes sumptus dicere, quos ad Eleusinia celebranda Strepsiadem facere oporteret.

§ Ἄλλως. Ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κ΄ τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. § Ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται.

18. Ἅπτε καὶ λύχνον] Ταῦτα πάντα παρεγκυκλήματά ἐστι. δεῖ γὰρ τὸν οἰκέτην τὰ προσταχθέντα ποιῆσαι, ἅψασθαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον· ἔπειτα καθορᾷ ἐν αὐτῷ, καὶ οὕτω λέγει *) τοὺς δανειστάς.

20. Λογίσωμαι] Λογαριάσωμαι, λογαριάσω. Glossae.

21. Δώδεκα μνᾶς Πασίᾳ] Τοῦτον ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. § Χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν.

22. Τοῦ δώδεκα μνᾶς] Τοῦτο παρεγκύκλημα ἐφίστησιν, ὡς διαπορῶν **) τοῦ δανείου τὴν αἰτίαν. εἶτα ἀναμνησθείς, τὰ ἑξῆς ἐπάγει. § Τοῦ δώδεκα. Μὴ λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς. ✤ Ἕνεκεν τίνος πράγματος. Glossa.

Τί] Ἐς τί; κατὰ τί; Glossa.

23. Τὸν κοππατίαν] Κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται τὸ ϙ σημεῖον ***)· ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ ϡ. τὸ γὰρ C καὶ τὸ Π χαρασσόμενον σαμπῖ ἔλεγον †). αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ

---

*) Legebatur: καθορᾶν ἐν τῷ αὐτῷ, καὶ οὕτω λέγειν τοὺς δανειστάς. Τῷ abest in Aldina. Infinitivos mutavit Reizius. Fortasse tamen scholiastes scripsit: ἔπειτα καθορᾶν ἐν τούτῳ αὐτόν, καὶ οὕτω λέγειν τοὺς δανειστάς.

**) Legebatur διαπορεῖν.

***) Disputavere de hoc loco Scaliger ad Eusebii chron. num. MDCXVII. et Salmasius in Exerc. Plin. p. 626. Vide etiam praefat. Ern. p. 9. et 17. Legebatur ἐγκεχάρακτο, mutatum e Suida in κοππατίας. Deinde apud hunc pariter atque apud scholiasten erat τὸ κ στοιχεῖον. Σημεῖον emendatio est Salmasii.

†) Legebatur: ὡς σαμφόρας, ἐγκεχαραγμένους τὸ σ. τὸ γὰρ σ καὶ τὸ ν χαρασσόμενον σὰν ἔλεγον. Apud Suidam sic: ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ σ καὶ ν χαρασσόμενον ἄλλοις. σὰν γὰρ ἐκείνους ἔλεγον. Horum priora verba e scholio nostro emendanda sunt. Reliqua suspicor ita corrigenda esse: τὸ γὰρ C καὶ τὸ Π χαρασσόμενα ἐν ἀλλήλοις οἱ Δωριεῖς σαμπῖ ἔλεγον. σὰν γὰρ ἐκεῖνοι τὸ σ ἔλεγον.

στήσασθαι δὲ καὶ σέβειν *) Δία βασιλέα, ὥςτε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. εἰώθασι δὲ ἐπὶ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ Ἀγαμέμνων

πρόθελύμνους ἕλκετο χαίτας
ὑψόθ' ἐόντι Διΐ **).

Τὸ χρῆμα τῶν νυκτῶν] Τὸ μέγεθος, τὸ ἔκταμα. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον, ἵππος, σπάνιόν τι χρῆμα· καί, γυνή, σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

3. Ἀπέρατον] Μέγα, οὗ πέρας οὐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσι. ζητεῖται δέ, πῶς τὰς νύκτας μεγάλας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, συνεστάλθαι τὰς νύκτας ἀνάγκη, διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια· πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται διὰ τὸ φροντίζειν, ὅπερ πάσχειν συμβαίνει τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δέ. συγκεκαλυμμένος γὰρ ***) καὶ καθεύδων, ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. ✣ Ἀπλήρωτον, ἀτελείωτον. Glossae Brunck. Ἀπέρατον, τὸ μὴ ἔχον πέρας· ἀπέραντον δέ, τὸ μὴ περαινόμενον, καὶ τὸ ὅπερ μὴ δύναιτ' ἄν τις ἐξελθεῖν. Schol. C.

5. Οἱ δ' οἰκέται ῥέγκουσιν] Οὕτως Ἀττικοὶ διὰ τοῦ κ. Οἰκέτας δὲ νῦν οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἀμεριμνώντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο καὶ τὸ ῥέγκουσιν ἐπήγαγεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν. ✣ Ῥέγκουσι. ἔστι δὲ Ἀττικόν. ἐπεὶ καὶ ῥέγχουσι γρ. τὸ δὲ ῥέγκουσι ἀπὸ τῶν Ἰώνων λέγουσι· λαβόντες, οἵτινες ἀεὶ τὰ δασέα εἰς ψιλὰ τρέπουσι. Harl. 5.

Ἀλλ' οὐκ ἂν πρότου] Ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ φησὶν ἐξέπεμπον αὐτοὺς ἐργασομένους, ὡς ὑπὸ τῆς περὶ τὴν γεηπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.

---

*) Verba καὶ σέβειν addit liber Ravennas.

**) Verba εἰώθασι et quae sequuntur cum loco Homerico Iliad. X. 15. addit liber Ravennas.

***) Abest γὰρ ab ed. princ.

6. *Ἀπόλοιο δῆτ', ὦ πόλεμε*] Φασὶν ὡς Ἀθηναῖοι, Λακεδαιμονίοις ἐν Ἀργινούσσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴ τις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτε*) ποτὲ μὲν μόνον χρόνον δηλοῖ, ποτὲ δὲ καὶ χρόνον καὶ αἰτίαν, ὥς ἐστι κἀνταῦθα.

8. *Ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσί*] Νῦν οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ' ἐν εἰρωνείᾳ. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥαθυμίᾳ μέμφεται;

10. *Ἐν πέντε σισύραις*] Στερεὰ περιβλήματα παχέα, ταῖς νῦν **) καλουμέναις ἐμφερῆ σύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. Ἰστέον, ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια· ὥςτε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. ✠ Σισύρη τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων. Glossae Victor.

Ἐγκεκορδυλημένος] Ἐγκεκρυμμένος. Κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. ✠ Ἐντετυλιγμένος, ἐγκεκρυμμένος. Glossae Br.

11. *Ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν*] Παρεπιγραφή. ποιήσας ἀσχήμονα τὴν ὄψιν, καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥςπερ ἐκεῖνος ἐκάθευδεν. ϑ Ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιειλήμασιν.

12. *Ἀλλ' οὐ δύναμαι*] Ἀλλ' οὐκ ἔπεισί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν.

Δείλαιος] Ἄθλιος, κακοδαίμων.

Δακνόμενος] Ἐνοχλούμενος***) ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι ἵππους τρέφειν· ὅπερ καὶ τῇ Λακωνικῇ προςέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ

---

*) Legebatur vulgo ὅτι. Ὅτε ed. princeps.
**) Vulgo νῦν abest, quod addit ed. princeps.
***) Hoc vocabulum habet etiam glossa Brunckii.

τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει*). τὸ δὲ δακνόμενος ἔλαβεν ἀπὸ τοῦ αὐτὸν κατακεκλεῖσθαι εἴσω τῶν στρωμάτων καὶ τῶν περιβλημάτων**). τὸ δὲ χρεῶν νῦν περισπαστέον. δηλοῖ γὰρ τῶν ὀφλημάτων. εἴρηκε δὲ ἀπὸ τῶν κόρεων. Δαπάνην δέ, τουτέστι τὰ δεσμὰ τοῦ χόρτου, ἵνα ἑξῆς καὶ ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ.

14. Ὁ δὲ κόμην ἔχων] Ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἂν τοῖς Ἱππεῦσι (v. 580.)·
μὴ φθονῆθ᾽ ἡμῖν κομῶσι, μηδ᾽ ἀπεστλεγγισμένοις.

15. Ἱππάζεταί τε καὶ ξυνωρικεύεται] Νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. Ξυνωρὶς δέ, τὸ μὴ πλῆρες ἅρμα, ἀλλ᾽ ἐκ δυοῖν ἵππων συνεστώς· ὁ νῦν δίφρον καλοῦμεν. τὸ δὲ ἱππεύεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι, καὶ οὕτως ἱππάζεσθαι, ὃν***) νῦν κέλητα καλοῦσιν. ✠ Ἱππάζεται, ἐν ἵππῳ ὀχεῖται. Ξυνωρικεύεται, ἐπὶ δίφρου φέρεται.' Glossae.

16. Ὀνειροπολεῖ θ᾽ ἵππους] Κἂν τοῖς ὀνείροις ἵππους περινοεῖ. τουτέστιν, οὕτω προςτέτηκε τῷ πράγματι, καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥςτε καὶ καθεύδων τὰ ὀνείρατα περὶ ἵππων ὁρᾷ. τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν, ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώττειν, ἐπὶ τῶν νυκτὸς αὐτομάτως ἀφιέντων γόνον· ὅπερ τοῖς ἐρῶσιν ἐκτόπως συμβαίνει, δόξασι τοῖς παιδικοῖς συνεῖναι. ✠ Ἐν ὀνείρασι φαντάζεται. Gl.

17. Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας] Ἢ ὅτι μετὰ εἰκάδα καὶ ὁ μὴν †) προςεγγίζει τῇ τριακάδι, καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται· ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ Ἀττικοὶ δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν.

---

*) Habet Suidas in δακνόμενος· οἰκοδομά σε λάβοι, καὶ ἀμβολά, ὅ τε ἵππος, καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι.

**) Sic Ald. Vulgo περιειλημάτων.

***) Legebatur ὅ, hic et apud Suidam in ἱππάζεται. Reizius verba καὶ οὕτως ἱππάζεσθαι delenda putabat, quae ne Suidas quidem habet. Kusterus scribi volebat ὃ νῦν κελητίζειν καλοῦσιν.

†) Legebatur ὁ μὴν καί. Mox μυστικαὶ δαπάναι quid essent, non intelligere se dixit Ruhnkenius in adnotationibus a Tittmanno editis p. 129. Videtur scholiastes sumptus dicere, quos ad Eleusinia celebranda Strepsiadem facere oporteret.

§ Ἄλλως. Ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ κ΄ τῶν εἰκοσιεννέα ἐγγύς, ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης οἱ τόκοι, διὰ τοῦτο εἰκάδας εἶπεν. § Ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἐφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται.

18. Ἅπτε καὶ λύχνον] Ταῦτα πάντα παρεγκυκλήματά ἐστι. δεῖ γὰρ τὸν οἰκέτην τὰ προςταχθέντα ποιῆσαι, ἅψασθαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον· ἔπειτα καθορᾷ ἐν αὐτῷ, καὶ οὕτω λέγει *) τοὺς δανειστάς.

20. Λογίσωμαι] Λογαριάσωμαι, λογαριάσω. Glossae.

21. Δώδεκα μνᾶς Πασίᾳ] Τοῦτον ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρειςήγαγε. § Χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν.

22. Τοῦ δώδεκα μνᾶς] Τοῦτο παρεγκύκλημα ἐφίστησιν, ὡς διαπορῶν**) τοῦ δανείου τὴν αἰτίαν. εἶτα ἀναμνησθείς, τὰ ἑξῆς ἐπάγει. § Τοῦ δώδεκα. Μὴ λάβῃς εἰς τὸ τοῦ ἔξωθεν τὸ ἕνεκα, ὡς οἴονταί τινες· ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς. ✠ Ἕνεκεν τίνος πράγματος. Glossa.

Τί] Ἐς τί; κατὰ τί; Glossa.

23. Τὸν κοππατίαν] Κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται τὸ ϙ σημεῖον***)· ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ ϡ. τὸ γὰρ C καὶ τὸ Π χαρασσόμενον σαμπῖ ἔλεγον †). αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ

*) Legebatur: καθορᾶν ἐν τῷ αὐτῷ, καὶ οὕτω λέγειν τοὺς δανειστάς. Τῷ abest in Aldina. Infinitivos mutavit Reizius. Fortasse tamen scholiastes scripsit: ἔπειτα καθορᾶν ἐν τούτῳ αὐτόν, καὶ οὕτω λέγειν τοὺς δανειστάς.

**) Legebatur διαπορεῖν.

***) Disputavere de hoc loco Scaliger ad Eusebii chron. num. MDCXVII. et Salmasius in Exerc. Plin. p. 626. Vide etiam praefat. Ern. p. 9. et 17. Legebatur ἐγκεχάρακτο, mutatum e Suida in κοππατίας. Deinde apud hunc pariter atque apud scholiasten erat τὸ κ' στοιχεῖον. Σημεῖον emendatio est Salmasii.

†) Legebatur: ὡς σαμφόρας, ἐγκεχαραγμένους τὸ σ. τὸ γὰρ σ καὶ τὸ ν χαρασσόμενον σὰν ἔλεγον. Apud Suidam sic: ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ σ καὶ ν χαρασσόμενον ἄλλοις. σὰν γὰρ ἐκείνους ἔλεγον. Horum priora verba e scholio nostro emendanda sunt. Reliqua suspicor ita corrigenda esse: τὸ γὰρ C καὶ τὸ Π χαρασσόμενα ἐν ἀλλήλοις οἱ Δωριεῖς σαμπῖ ἔλεγον. σὰν γὰρ ἐκεῖνοι τὸ σ ἔλεγον.

τοῖς ἵπποις. ϡ Συνεζευγμένου γὰρ τοῦ Π καὶ C τὸ σχῆμα τοῦ ϡ*) ἀριθμοῦ δύναται νοεῖσθαι· οὗ προηγεῖται τὸ ϙ **). καὶ παρὰ γραμματικοῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα, ἐνενήκοντα. τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐδὲν ὄντως ὑποτιθέμενοι. οὐ γὰρ βουκεφάλους ἵππους καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην αὐτοὺς ἔχειν, ἀλλὰ διὰ τὸ οὕτως ἐγκεχαράχθαι· ὡς καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ὁ ἵππος ἦν, ὃς τελευτήσαντος τοῦ Βουκεφάλου Ἀλεξάνδρειαν ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν.

24. Εἶθ' ἐξεκόπην] Ἔπαιξε τὸ ἐξεκόπην παρὰ***) τὴν κοππατίαν. φησὶ δέ, ὄφελον, πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι, πατάξας αὐτὸν λίθῳ. ✠ Ἐξεκόπην. ἐξέβαλον. Λίθῳ. διὰ λίθου. Gl. cod. in Catal. codd. Napian. p. 478.

25. Φίλων, ἀδικεῖς] Ὁ νεανίσκος Φειδιππίδης τοῦτο καθεύδων ὑποφθέγγεται, ὥς τινα συνηνιοχοῦντα μεμφόμενος, ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα, μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδούς, ὡς ἀνεπικωλύτως θέοιεν, ὃ δ' ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ Φίλων οἳ μὲν φασιν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον, ἀντὶ τοῦ, ὦ φίλε, οἳ δὲ κύριον ἡνιόχου.

28. Πόσους δρόμους] Ὀνειρώττων εἶπε πόσους δρόμους. εἷς δ' ἐστὶν ἀπὸ τῆς ἀφετηρίας μέχρι τοῦ καμπτῆρος. οἱ δ' ἡνίοχοι καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ Θησεύς.

Nam scholiastes ad Equites v. 600. sic habet in ed. Aldina: ἰδίως καλοῦνται σαμφόραι ἵπποι ἐγκεχαραγμένοι γὰρ τὸ σ σημεῖον. οἱ Δωριεῖς τὸ σ σὰμ λέγουσιν. In quibus pro priore σ coppa restituendum: deinde γάρ, loco suo motum, sic reponendum in reliquis: οἱ γὰρ Δωριεῖς τὸ σ σὰν λέγουσιν.

*) Legebatur: συνεζευγμένου γὰρ τοῦ κ καὶ σ τὸ σχῆμα τοῦ ς. Peius etiam apud Suidam.

**) Legebatur τὸ κ. Προηγεῖται non de numero praecedente intelligendum, sed de littera ἐπισήμῳ. Nam inter has litteras coppa est ante sampi.

***) Aldina περί.

❖ Πόσους καμπτοὺς πεποίηκας; ἐστὶ δὲ εὕρημα τοῦτο τοῦ Θησέως. Schol. MS. Rav.

Πολεμιστήρια] Κατά τινας, ἀγὼν Ἀθήνησιν ἱππικοῦ δρόμου. ἔνα δὲ δρόμον ἐκεῖ τρέχουσιν. ὥστε τὰ ἁμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος, σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. ϑ. Πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁ *) ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ· ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα. ϑ Ἄλλως. Δέον εἰπεῖν, πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια, ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης, ὃ δὲ ἐπειδὴ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς, τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ, εἰκῇ φέρεται.

29. *Ἐλαύνεις*] Στρέφεσθαί με ποιεῖς, ἤγουν πολλὰς στροφὰς φροντίδων διεγείρεις. Glossa.

30. *Ἀτὰρ τί*] Τί δὴ μετὰ ταῦτα ὄφλημά με κατέλαβεν Εὐριπίδης, τί χρέος ἔβα δῶμα.

31. *Τρεῖς μναῖ διφρίσκου*] Δίφρος καλεῖται τὸ σκεῦος ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρίσκους, διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς μὴ ἀγωνιστικούς **).

31. *Καὶ τροχοῖν Ἀμυνίᾳ*] Καὶ οὗτος τῶν περὶ ***) ἵππους πταισάντων. μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξί (v. 1267.). νῦν δὲ οὐκ ἐκεῖνον καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα διασύρειν βουλόμενος, τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμεινίας †) Προνάπου

*) Aberat articulus.

**) Idem scholion in libro Ravennate est, sed leviter corruptum. Finitur autem verbo ὑποκοριστικῶς. Addidi μή. Nisi πρὸς τοὺς ἀγῶνας scribendum, aut varia lectio est, γρ. τοὺς ἀγωνιστικούς. Vide Suidam.

***) Legebatur ὑπέρ.

†) Legebatur Ἀμινίαν, et τὸ ι εἰς τὸ υ, et ἀντὶ τοῦ Ἀμινίαν. De hac lege vid. Petitum de leg. Att. p. 79. sive 150. ed. Wess. Ἀμεινίαν vocant hunc Diodorus XII. 72. Athenaeus V. 18. Diog. Laert. III. 3. schol. Lucian. ad Tim. 30. p. 144. Ac nescio, an recte Casaubonus ad Athenaeum praeferendum putet Ἀμυνίας, quae varietas scripturae etiam apud Diodorum reperitur. Lege si vetitum fuit archontem in scena perstringere, quomodo in Vespis hunc tangere potuit Aristophanes, ubi etsi scribitur Ἀμυνίας v. 74. 1267. tamen in priore loco patris etiam nomen additum est? Vespae enim hoc archonte sunt editae.

υἱός. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ει εἰς τὸ υ, καὶ παρεγραμμάτισε γελοίως· ἐπεὶ παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. Ϛ Ἀμυνίαν δὲ αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμεινίαν.

32. Ἄπαγε τὸν ἵππον ἐξαλίσας] Καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει. Ἐξαλίσας δέ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν· ὥς που καὶ ἐν τοῖς Βατράχοις (v. 904.) ὁ αὐτὸς ποιητής, ἀλινδήθρας, τὰ ἐγκυλίσματα*).

33. Ἀλλ' ὦ μέλ'] Κατὰ ἀποκοπὴν τοῦ ε, Ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων**) εὕρηται γραφόμενον.

Ἐξήλικας] Ἐξέβαλες, ἐξέωσας. Rav.

34. Ὅτε καὶ δίκας ὦφληκα] Ἤγουν καὶ δίκας προςώφληκα. Ϛ Ἤ, ὡς καὶ δίκας προςώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐπεπτώκειν. Ϛ Ἐπιτείνει γοῦν τὸ κακόν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσεσθαι***) ἀπειλοῦσιν.

Χἄτεροι τόκου] Ἀντὶ τοῦ καὶ ἄλλοι. Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον †) δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ, οὓς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν. ✥ Ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. Glossa.

35. Ἐτεόν, ὦ πάτερ] Ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς λέγει, ἑωρακὼς τὸν πατέρα ὀδυρόμενον. Ϛ Τοῦτο δὲ οὐκέτι καθεύδων, ἀλλ' ἐγερθείς ††).

36. Τί δυςκολαίνεις καὶ στρέφει] Τί περιστρέφῃ συνεχῶς. συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.

---

*) Legebatur ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.

**) Vulgo αὐτογράφων. Aldina ἀντιγράφων.

***) Aldina ἐνεχυράσασθαι, ut eadem in contextu Aristophanis.

†) Μᾶλλον, eo scilicet, quod illa addit, alios pignorum capiendorum caussa advenire. Nisi scribendum: καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασι μᾶλλον. Τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ.

††) Haec verba male legebantur infra ad v. 37. post illa, τοὺς ἀγνώμονας τῶν χρεωστῶν.

87. *Δάκνει με δήμαρχός τις*] Παίζων τὸν κόριν, ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς*) ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων· καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν· συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν**) καὶ ἐνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησί· *κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις****). καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν*****) *ναυκραρίων ἐποίησεν.* ❡ Οἱ πρότερον ναύκραροι, εἴτε ὑπὸ Σόλωνος καταστάθέντες, εἴτε καὶ πρότερον †). ❡ Οὗτοι δὲ τὴν πομπὴν τὴν Παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκράρων. ❡ Ἔστι δὲ δήμαρχος, ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς ††) φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησί· *καὶ δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον*†††) *διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων.* ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. ❡ Παίζει δέ, ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ❡ Ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι, οὓς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν. ✠ Δέον εἰπεῖν κόρεις, οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν, ὁ δὲ μεμνημένος ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχός φησι. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν.' Schol. C.

---

*) Correctio Wolfii ex Suida et Harpocratione. Legebatur ὑπογραφάς. Pro χωρίων, quod Suidas et Harpocratio habent, scholiastes χρεῶν. Vide Boeckh. de oecon. Athen. vol. II. p. 47.

**) Sic Harpocratio et Suidas. Apud scholiasten legebatur ἐπεδίδοσαν.

***) Legebatur ναυκλάροις, et mox ναυκλαρίων et deinde ναυκλάρων. Vide Suidam in δήμαρχοι et ναυκραρικά.

****) Legebatur αὐτῶν pro ἀντὶ τῶν.

†) Legebatur, εἴτε καὶ πρῶτον.

††) Non opus ut post hanc vocem cum Platnero (*Beiträge zur kenntniss des Attischen rechts* p. 225.) inseratur δημάρχους ob ea, quae scripta sunt in Etym. M. p. 265, 20. et Bekkeri Anecd. p. 237, 8. nec cum eodem Platnero mox scripserim καὶ ἄρχοντας οἱ περὶ Σόλωνα.

†††) Legebatur οἱ κατὰ δῆμον ἄρχοντες.

υἱός. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ει εἰς τὸ υ, καὶ παρεγραμμάτισε γελοίως· ἐπεὶ παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. Ϛ Ἀμυνίαν δὲ αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμεινίαν.

32. *Ἄπαγε τὸν ἵππον ἐξαλίσας*] Καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει. Ἐξαλίσας δέ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν· ὥς που καὶ ἐν τοῖς Βατράχοις (v. 904.) ὁ αὐτὸς ποιητής, *ἀλινδήθρας*, τὰ ἐγκυλίσματα*).

33. *Ἀλλ' ὦ μέλ'*] Κατὰ ἀποκοπὴν τοῦ ε, Ἀττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων**) εὕρηται γραφόμενον.

Ἐξήλικας] Ἐξέβαλες, ἐξέωσας. Rav.

34. *Ὅτε καὶ δίκας ὦφληκα*] Ἤγουν καὶ δίκας προςώφληκα. Ϛ Ἤ, ὡς καὶ δίκας προςώφληκα. ἐπιτάσει δὲ χρῆται ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐκπεπτώκειν. Ϛ Ἐπιτείνει γοῦν τὸ κακόν, ὅτι πρὸς τῷ ζημιοῦσθαί με ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσεσθαι***) ἀπειλοῦσιν.

Χἄτεροι τόκου] Ἀντὶ τοῦ καὶ ἄλλοι. Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον †) δὲ τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ, οὓς φησι τόκου χάριν ἐνεχυριάσειν αὐτὸν ἀπειλεῖν. ✠ Ἐνέχυρον ἐξ ἐμοῦ λαβεῖν. Glossa.

35. *Ἐτεόν, ὦ πάτερ*] Ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγερθεὶς λέγει, ἑωρακὼς τὸν πατέρα ὀδυρόμενον. Ϛ Τοῦτο δὲ οὐκέτι καθεύδων, ἀλλ' ἐγερθείς ††).

36. *Τί δυςκολαίνεις καὶ στρέφει*] Τί περιστρέφῃ συνεχῶς. συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.

---

*) Legebatur ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.

**) Vulgo αὐτογράφων. Aldina ἀντιγράφων.

***) Aldina ἐνεχυράσασθαι, ut eadem in contextu Aristophanis.

†) Μᾶλλον, eo scilicet, quod illa addit, alios pignorum capiendorum caussa advenire. Nisi scribendum: καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασι μᾶλλον. Τὴν ὄχλησιν δείκνυσι τὴν κατ' αὐτοῦ.

††) Haec verba male legebantur infra ad v. 37. post illa, τοὺς ἀγνώμονας τῶν χρεωστῶν.

37. *Δάκνει με δήμαρχός τις*] Παίζων τὸν κόριν, ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς*) ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων· καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν· συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν**) καὶ ἐνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησί· *κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις****). καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν****) ναυκραρίων ἐποίησεν.* ¶ Οἱ πρότερον ναύκραροι, εἴτε ὑπὸ Σόλωνος κατασταθέντες, εἴτε καὶ πρότερον †). ¶ Οὗτοι δὲ τὴν πομπὴν τὴν Παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκράρων. ¶ Ἔστι δὲ δήμαρχος, ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς ††) φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησί· *καὶ δημάρχους οἱ περὶ Σόλωνα καθίσταντο ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον†††) διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων.* ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. ¶ Παίζει δέ, ὡς εἰ ἔλεγε κόρις ἢ ψύλλα. ¶ Ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι, οὓς ἐχρῆν ἐνεχυριάζειν τοὺς ἀγνώμονας τῶν χρεωστῶν. ✥ Δέον εἰπεῖν κόρεις, οἱ γὰρ κόρεις ἐν τοῖς στρώμασιν ὄντες τοὺς ὑπνοῦντας δάκνουσιν, ὁ δὲ μεμνημένος ὅτι εἰς δικαστήριον ἥξει ὑπὸ τῶν δανειστῶν, δήμαρχός φησι. δήμαρχος δέ ἐστιν ὁ τοῦ δήμου προστάτης, ὃν φασὶν ἰδιωτικῶς δοῦκαν.' Schol. C.

---

*) Correctio Wolfii ex Suida et Harpocratione. Legebatur ὑπογραφάς. Pro χωρίων, quod Suidas et Harpocratio habent, scholiastes χρεῶν. Vide Boeckh. de oecon. Athen. vol. II. p. 47.

**) Sic Harpocratio et Suidas. Apud scholiasten legebatur ἐπεδίδοσαν.

***) Legebatur ναυκλάροις, et mox ναυκλαρίων et deinde ναυκλάρων. Vide Suidam in δήμαρχοι et ναυκραρικά.

****) Legebatur αὐτῶν pro ἀντὶ τῶν.

†) Legebatur, εἴτε καὶ πρῶτον.

††) Non opus ut post hanc vocem cum Platnero (*Beiträge zur kenntniss des Attischen rechts* p. 225.) inseratur δημάρχους ob ea, quae scripta sunt in Etym. M. p. 265, 20. et Bekkeri Anecd. p. 237, 8. nec cum eodem Platnero mox scripserim καὶ ἄρχοντας οἱ περὶ Σόλωνα.

†††) Legebatur οἱ κατὰ δῆμον ἄρχοντες.

38. *Ὦ δαιμόνιε*] κακοδαίμων. Gl. Vict.

Καταδαρθεῖν] Οἱ Ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δὲ εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφεὶς πάλιν κοιμᾶται. ✠ Κοιμηθῆναι. Gl. Vict.

42. *Εἴθ᾽ ὤφελ᾽*] Τὸ ὤφελε τινὲς ἐπιῤῥηματικῶς δέχονται, ὡς τό (Callimach. epigr. XVIII.),

*ὤφελε, μηδ᾽ ἐγένοντο θοαὶ νέες.**)

καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ᾽ ἀρχὰς τοῦ δράματος· ἵν᾽ ᾖ παράλληλον τὸ σχῆμα, τοῦ πρεσβύτου συνεχέστερον ἀπευχομένου**) τῇ προμνηστρίᾳ· ὁ δὲ ποιητὴς (Iliad. XVIII. 367.) ῥῆμα αὐτὸ οἶδεν·

οὐκ ὄφελον Τρώεσσι κοτεσσάμενος.

Καὶ (Iliad. IX. 698.)

μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο.

Τὸ δὲ *φεῦ*, ἰδίως.

Ἡ προμνήστρι᾽ ἀπολέσθαι] Ἡ προνοήσασα τῶν γάμων προμνήστρια καλεῖται· ἡ νῦν προξενήτρια. ✠ Ἡ τοῦ γάμου πρόξενος. Glossa.

43. *Γῆμαι ᾽πῆρε*] Κυρίως τὸ ἀνεχαύνωσεν, ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα. καταχρηστικῶς δὲ ἀνέπεισεν. ✠ Παρεκίνησε, κατέπεισε. Glossa.

45. *Εὐρωτιῶν*] Ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, *εἰκῇ κείμενος*. εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης***). ϑ Καὶ εὐρώς, ὁ σκώληξ. ϑ Ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὤν, οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν, ἀλλ᾽ ἄλλο ἀλλαχῇ κεῖται, ὡς ἔτυχε. τὸ δὲ *ἀκόρητος*, ἀκαλλώπιστος†). κορεῖν γάρ, καλλωπίζειν. ὅθεν καὶ νεωκόρος.

46. *Καὶ στεμφύλοις*] Στέμφυλα κυρίως λέγεται τὰ ἀποπιέσματα τῶν ἐλαῶν. Περιπίσματα††) δέ, τὰ ἐκ τῶν

---

*) Legebatur vulgo μήτ᾽. Aldina recte μηδ᾽ habet.
**) Ita primae edd. Kusterus autem ἐπευχομένου.
***) Plura vide apud Suidam v. εὐρωτιῶν.
†) Sic etiam Glossa Brunckii.
††) Legitur haec vox etiam in scholiis ad Eq. 803. ubi scripta

σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν· καὶ τὰ περιπίσματα, ἐπὶ τῶν ἐλαῶν. ✠ Τεταριχευμέναις σταφύλαις. Glossa.

47. Τοῦ Μεγακλέους] Ἐδιπλασίασε τὸ ὄνομα εἰρωνευόμενος. τοῦ Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος*). ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱός, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν παρ' Ἐρετριεῦσιν. Παρῴδηται δὲ τὸ Περικλέους, Μεγακλέους, ὡς ἂν δυναμένου ἀμφότερα δηλοῦν. δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα**). ✠ Οὗτος τοῦ γένους ἦν τῶν Ἀλκμαιωνιδῶν. ἐδιπλασίασε δὲ τὸ ὄνομα. Schol. MS. Rav.

48. Ἄγροικος ὢν ἐξ ἄστεος] Οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ· ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν· ἀλλὰ πρῶτον μὲν λεληθότως διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἄν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνή, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους, καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἧττω τῶν γυναικῶν***). ὃ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο, φήσας αὐτὸν ἀγροῖκον εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδέν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.

49. Σεμνὴν] Οὐ τὴν σώφρονα· οὐ γὰρ ἐπαινεῖ αὐτήν· ἀλλ' †) ἀλαζόνα καὶ ὑπέρογκον καὶ σοβαρὰν τῷ εἴδει· τρυ-

---

est περιπύσματα. Nisi vulgi usu depravata est, recte videtur Ernestius περιπιέσματα scribendum censuisse.

*) Nescio an scribendum sit δειλός. Sed si scripsit δοῦλος, referendum id est ad eam famam, cuius mentio facta ad v. 65. ubi Coesyra dicitur serva fuisse, vereor ne magno errore, quum eam alii nobilem fuisse perhibeant, ut Suidas.

**) Verba παρῴδηται et quae sequuntur, male legebantur ad v. 65. post illa, τὸ ὄνομα τὸ Ξανθίππου εἰλήφει.

***) Reizius legendum putabat, δόξαν γὰρ εἰώθασιν αἱ γυναῖκες ἔχειν οὐχ ἧττω τῶν ἀνδρῶν. Sed videtur scholiastes hoc dicere, quemadmodum puellis magna dos famam apud viros faciat, ita viros etiam propter divitias existimationem habere apud puellas.

†) Aberat ἀλλά. Monuit etiam Ruhnkenius.

φῶσαν δὲ ἱματίοις, καὶ τῇ ἄλλῃ δαπάνῃ. ✠ Σοβαρὰν τὸ ἦθος. Gl.

Ἐγκεκοισυρωμένην] Περισσῶς κεκοσμημένην. ℐ Ἢ ἔθνος ἡ Κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν. ℐ Ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν *). ✠ Περισσῶς κεκοσμημένην, κεκαλλωπισμένην, ὁμοίως τῇ Κοισύρᾳ. αὕτη δὲ ἦν γυνή τις πάνυ ἑαυτὴν κοσμοῦσα ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς τοὺς ὁρῶντας ἐκπλήττεσθαι. Schol. MS. ap. Brunck.

51. Ὄζων τρυγός] Νέου οἴνου· ἢ τῆς ὑποστάθμης **). τρασιὰ δὲ λέγεται ὁ τόπος, ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται, ἢ σανίς. τρία δὲ εἶπε τὰ αὐτοῦ· τρυγός, τρασιᾶς (ἀντὶ τοῦ, σύκων) καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα.

Τρασιᾶς] Ξύλου, ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον. Glossa.

Ἐρίων περιουσίας] Ἀντὶ τοῦ, πλούτου. τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ, βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις, πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων, τὰ ἔρια· ἀπὸ δὲ τῶν στεμφύλων, τρὺξ καὶ οἶνος· ἀπὸ δὲ τρασιᾶς, τὰ σῦκα.

52. Καταγλωττισμάτων] Αἰσχρῶν φιλημάτων, καὶ περιεργοτέρων ***). ℐ Ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. ἐστὶ δὲ καὶ ὁ λαφυγμὸς κατὰ μέν τινας τὸ αὐτό· κατὰ δέ τινας ἡ ἄλογος καὶ καθ' ὑπερβολὴν δαπάνη. ἔστι γὰρ λάπτω, καὶ λαφύσσω, τὸ ῥοφῶ· κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα

---

*) V. Suidam v. ἐγκεκοισυρωμένην. Idem: Κοισύρα, γυνὴ Ἀθήνησιν εὐγενὴς καὶ πλουσία, μήτηρ Μεγακλέους καὶ Λαμάχου, Ἀλκμαίωνος γαμετή, ἥτις ἐπὶ βλακείᾳ διεβεβόητο. καὶ κοισυροῦται, κοσμεῖται ἢ τὰ τῆς Κοισύρας φρονεῖ.

**) Reizius legendum putabat ὑποστάσεως. Improbatum etiam a Wolfio.

***) Ed. princeps: αἰσχρῶν φιλημάτων περιεργότερον.

καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς ἄγαν τρυφῆς τοιαῦτα πράττουσιν*).

53. *Λαφυγμοῦ*] Τῆς περὶ τὰ ἐδέσματα πολυτελείας· τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει τὸ ἀπλήστως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι,

λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.

Ὅμηρος (Iliad. XI. 176. XVII. 64.)·

ἔγκατα πάντα λαφύσσει.

Κωλιάδος] Οἱ μὲν Κωλιάδα τὴν θεὸν καλοῦσι, νεανίου Ἀττικοῦ, ἀποδράντος ἀπὸ λῃστῶν συμμαχίᾳ τῆς θεοῦ, οὕτως**) αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τὰ κῶλα, τῶν δεσμῶν***) ἀπελύθη ὑπὸ γυναικὸς (οἱ δέ, θυγατρός) τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δέ, τόπον ἐοικότα κώλοις ἀνδρός, ἔνθα ἡ θεὸς τιμᾶται. ἔνιοι δέ, Ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη. ℈ Ἄλλως. Κωλιάς, ναός ἐστιν Ἀφροδίτης, οὕτω καλούμενος ἀπό τινος νεανίσκου Ἀττικοῦ, ἁλόντος ὑπὸ Τυῤῥηνῶν †), καὶ δεθέντος τὰ κῶλα· εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ Τυῤῥηνοῦ ††) καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο Κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι. ✠ Κωλιὰς ναός ἐστιν Ἀφροδίτης, ἀπὸ τοῦ συμβεβηκότος τὴν προσηγορίαν λαβών. νεανίας γὰρ Ἀττικός, ἁλοὺς ὑπὸ Τυῤῥηνῶν, δεσμῷ. δουλεύων, ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης, ἦλθεν εἰς τὴν οἰκίαν τοῦ ἔχοντος. οὕτως ἐλευθερωθεὶς καὶ εὐχαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο. Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. ἡ δὲ Γενετυλλὶς δαίμων περὶ τὴν Ἀφροδίτην τῆς γενέσεως ἔφορος. Scholion MS. Rav.

---

*) Sic edidimus e scholio MS. ap. Brunck. quod incipit his verbis, καταγλώττισμά ἐστιν, ὅταν. In vulgatis verba ἐστὶ δὲ καὶ ὁ λαφυγμὸς usque ad δαπάνη abaunt, et quae deinde sequuntur, ad v. 53. legebantur post locum Homeri, hoc ordine verborum in fine: τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς.

**) Legebatur καὶ οὕτως: quod verum est, si scripserat scholiastes ἀπὸ νεανίου.

***) Emendatio Reizii. Legebatur δεθεὶς τῶν κώλων ἀπελύθη.

†) Emendatio Valesii ad Harpocr. v. Λιπάρα. Legebatur τυράννων.

††) Legebatur τυράννου.

Γενετυλλίδος] *Γενετυλλὶς*, ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη.

54. *Οὐ μὴν ἐρῶ γ', ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα*] Πρὸς τὸ ἀργός, ἐσπάθα· (καὶ τοῦτο εἰρωνευόμενος· περὶ γυναικὸς δὲ λέγει) ἀντὶ τοῦ κατηνάλισκε, κατήσθιε· καὶ διὰ τοῦτο οὐκ ἀργὸς ἦν. Ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται καταλήξεσιν*)· ὡς ἐνταῦθα.
καὶ παρ' Ὁμήρῳ (Iliad. II. 742.)· *κλυτὸς Ἱπποδάμεια*· καὶ Εὐριπίδῃ ἐν Ἑκάβῃ (v. 591.)·

τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι γενναῖος.

Σπαθᾶν δέ, τὸ ἀφειδῶς καταναλίσκειν· καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις· οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων, σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλὰ δαπανᾶν **) παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου,

ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδί,
*κατὰ πρόφασιν, ἔλεγον****), ὦ γύναι, λίαν σπαθᾷς.*

Ϡ Τοῦτο δὲ ἐπήνεγκε διττὸν ὄν, τό τε ἀναλοῦν, καὶ τὸ ὑφαίνειν.

56. *Λίαν σπαθᾷς*] Ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραῤῥαγέν, ἔλεγε τοῦτο αὐτῇ.

58. *Πότην ἧττες*] Πότης, Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος.

60. *Θρυαλλίδων*] Ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια πολὺ ἔλαιον δαπανῶσι.

61. *Μετὰ ταῦθ' ὅπως*] Μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ, ἐπὶ τὸ διήγημα πάλιν ἀνατρέχει τοῦ γάμου. οὐ μὴν συναπτέον πάντα τὸν στίχον, ἀλλ' ἀναπαυστέον †) μέχρι τοῦ *υἱός*. εἶτα διαστήσαντα χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν, *οὑτοσί*, ὡς ἀχθομένου αὐτοῦ τῇ γενέσει.

---

*) Legebatur λέξεσιν. Vide Koen. ad Gregor. Cor. p. 25. (62.)

**) Πόλλα δαπανᾶν e Suida est. Hic legebatur ἐπὶ τοῦ πολλοῦ παρείληπται.

***) Legebatur ἔφασκον. Vide notam ad textum.

†) Wolfius eleganter coniecerat ἀναγνωστέον. Cui tamen coniecturae postea coepit diffidere. Ac multa insolenter dicunt scholiastae.

62. Τῇ 'γαθῇ] Καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι στασιαζόμενος, ὥςτε ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι.

65. Ξάνθιππον] Ὁ Ξάνθιππος Περικλέους ἦν, τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους*). Καλλίας δὲ ὁ δᾳδοῦχος, προςελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ Περσῶν ἐν Μαραθῶνι, καὶ ἀριστεύσας κατὰ βαρβάρων, καὶ τρίτον Ὀλύμπια νικήσας ἅρματι, τὸν υἱὸν Ἱππόνικον ὠνόμασε. λέγεται δὲ τοῦτον πλουτῆσαι**) μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προςελθόντος αὐτῷ, καὶ μηνύσαντος θησαυρόν. καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας. Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον, πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν (ἣν ἔφαμεν δούλην οὖσαν, μητέρα γενέσθαι τοῦ Μεγακλέους) τὸ ὄνομα τὸ Ξανθίππου εἰλήφει***).

66. Τέως] μέχρι τινός. Τῷ χρόνῳ, μόλις. Glossae.

68. Κοινῇ ξυνέβημεν] Ἀντὶ τοῦ, ὡμονοήσαμεν, ὅτε καὶ ἀμφοτέρως †) ἡμῖν ἔδοξε τοῦτο. ℣ Ἢ διότι ἀφ' ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετέθη μέρος.

69. Ἐκορίζετο] Ἐκολάκευεν, οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς.

71. Ξύστιδ' ἔχων] Ξύστιδα, προπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰςελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι, καὶ ἅρματος ἐπιβάντες, διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. ℣ Ἄλλως. Ξύστις λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι φοροῦσι μέχρι νῦν πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ Μεγακλεῖ, τρίτον νικήσαντι Ὀλύμπια, καὶ δι' ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος, ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα ††). ❖ Ξύστις,

---

*) Quae hic vulgo sequebantur, vide ad v. 71.

**) Ita Palmerius et Gronovius. Vide Kusterum. Legebatur νικῆσαι.

***) Quae hic vulgo sequebantur, vide ad v. 47.

†) Ita ed. Ald. Vulgo ἀμφοτέροις.

††) Verba ἐσεμνύνετο usque ad κήρυγμα legebantur ad v. 65.

εἶδος ἱματίου πορφυροῦ. ἄλλοι δέ φασι τὸ ἰδιωτικῶς λεγόμενον σωσάνιον καὶ σῶζον τοὺς ἄνδρας. Schol. MS. ap. Brunck.

72. Ἐκ τοῦ Φελλέως] Τόπος οὕτω καλούμενος ἐν Ἀττικῇ. οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Διόνυσόν ἐστί τις ἑορτὴ τοῖς Ἀθηναίοις, Φέλλος καλουμένη· ἥτις τῶν Διονυσίων ἄρχεται. Λουκιανὸς δὲ ἐν τῷ περὶ τῆς Συρίης θεοῦ (Cap. 16. T. III. p. 462. ed. Reitz.) φαλλούς, φησίν, Ἕλληνες τῷ Διονύσῳ ἐγείρουσιν· ἐπὶ τῶν καὶ τοιόνδε τι φέρουσιν, ἄνδρας μικροὺς ἐκ ξύλου πεποιημένους, μεγάλα αἰδοῖα ἔχοντας. καλέεται δὲ τάδε νευρόσπαστα. καὶ παρακατιὼν δέ, ἐν τοῖς προπυλαίοις τοῦ Συρίης θεοῦ ναοῦ φαλλοὶ ἑστᾶσιν, οὓς Διόνυσος ἐστήσατο. ℊ Ἄλλως. Τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος. ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. αἱ δὲ αἶγες πρὸς *) τὰ τραχύτερα διώκουσι.

73. Διφθέραν ἐνημμένος] Ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα, Ἀττικοὶ δὲ **) λέγουσιν, ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος.

75. Ἀλλ' ἵππερόν μου κατέχεεν] Ἔπαιξε παρὰ τὸν ἴκτερον. νόσημα δὲ ὁ ἴκτερος, ὃ περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον, οἷον ἱππικὸν ἔρωτα, νόσον ἱππικήν, διὰ τὸ πολλὰ δεδαπανηκέναι. ✠ Ἱππικὸν ἔρωτα, ἀφανισμόν. Glossa.

Τῶν χρημάτων] Εὕρηται τοῦτο καὶ ῥημάτων· ὅπερ οὕτως εἴποις· ἀλλὰ κατέχεε τῶν ῥημάτων ἐμοῦ ἱππικὸν ἔρωτα· τουτέστιν, ἐμοῦ ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντετίθη αὐτοῖς, ὡς ἐραστής ἐστιν ἵππων, καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη.

81. Φειδιππίδιον] Τὸ ὑποκορίζεσθαι φιλούντων ἔθος.

---

*) Deleri πρὸς volebat Ruhnkenius, afferens scholiastam Theocriti ad I. 86. αἱ δὲ αἶγες ἄγριαι, παρόσον καὶ εἰς τὰ ὕψη τῶν ὀρῶν καὶ εἰς κρημνώδεις τόπους βόσκονται. Is quidem locus potius ad tuendam praepositionem adhiberi potuerat. Sed fortasse πως scribendum.

**) Quum plene interpunctum esset post διφθέρα, Kusterus μηλωτὴν vel διφθέραν post Ἀττικοὶ δὲ inserendum censuit. Recte fortasse, sed non opus, si sic ut interpunxi distinguitur. De ἰσάλη, quod pro ἰξαλῇ dixisse recentiores videantur, consulendus Kusterus.

κολακεύει δὲ νῦν τὸν υἱόν, καὶ προςποιεῖται φιλεῖν, ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.

83. *Κύσον με, καὶ τὴν χεῖρα δός*] Πρὸς τὸ Ὁμηρικόν (Iliad. VI. 233.),

χεῖράς τ' ἀλλήλων λαβέτην, καὶ πιστώσαντο.

Ϛ Φίλησον καὶ πρόςπτυξαι καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δ' ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις τὰς δεξιὰς διδόναι ἀλλήλοις.

83. *Ἰδού· τί ἐστιν*] Τὸ αἰτηθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος, τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρεπιγραφὴ τὸ εἶδος *).

84. *Νὴ τὸν Ποσειδῶ τουτονί*] Ἅρμα δείξας, ὄμνυσιν, ἢ ἄλλο τι ἡνιοχικὸν ἢ πολεμικὸν σκεῦος. Ϛ Κυρίως δὲ νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. *τουτονὶ* δὲ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν εἰρηκέναι. εἰώθασι γὰρ ὀμνύντες λέγειν, μὰ τοῦτον τὸν θεόν· μὰ τοῦτον τὸν Ἀσκληπιόν. ἄλλοι δέ, ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται.

85. *Μή μοί γε*] Μὴ εἴπῃς μοι, φησί, τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι' οὓς ἀπολωλέκειν τὰ χρήματα.

89. *Ἔκστρεψον*] Ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. Ϛ Ἐκστρέψαι δὲ ἱμάτιον, τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος ἔξω. ἄλλαξον οὖν, φησί, τοὺς τρόπους σου καὶ μεταβαλοῦ.

Ὡς τάχιστα] Μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα, κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα.

92. *Νὴ τὸν Διόνυσον*] Ἐπεὶ οὐκ ἐπιτρέπει τὸν Ποσειδῶνα ὀμνύναι, μεταβαλών, τὸν Διόνυσον ὄμνυσιν.

93. *Καὶ τῳκίδιον*] Τὸ οἰκίδιον, ὑποκοριστικῶς. σμικρύνει δέ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς τῆς φιλοσοφίας εἰς πάντα δεικνύς. τὸ δὲ *δεῦρο* νῦν οὐ τοπικόν, ἀλλ' ἀντὶ τοῦ ἐλθέ. ἤγαγε δὲ δῆθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν.

95. *Ψυχῶν σοφῶν*] Ἤγουν ἀνδρῶν φιλοσόφων. τοῦτο δὲ ἐπ' ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ

---

*) Reizius εἶδος in ἰδοὺ mutandum putabat.

ἄδηλον, πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφάς, ἢ τοὺς ἄνδρας σοφούς. ταῖς δὲ ψυχαῖς ἐκείνων ἐστὶ *) τὸ φροντιστήριον. ἐὰν μὲν γάρ,

ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον, ἐνδέχεται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφάς. ἐὰν δὲ ψυχῶν σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτου τὸν περὶ ψυχῆς Σωκράτους λόγον, καὶ ἀσαφῶς ἐπίτηδες εἰρηκέναι. ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἔδοξε λέγειν, καὶ ὥς τινες νομίζουσιν, ἀπεναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν Σωκράτους ποιούμενοι. Ἃ δὲ περὶ ψυχῆς ὥρισε, ταῦτα· ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον, ἀθάνατον. τὸ δ' ἄλλο κινοῦν, ἢ ὑπὸ ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει καὶ ζωῆς **).

Φροντιστήριον] Οἱονεὶ βουλευτήριον, ἢ σύνοδός τις, καὶ θᾶκος σοφῶν ***). θᾶκος δὲ καλεῖται ὁ τόπος Ἀττικῶς, ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτη, διὰ τὸ φροντίζειν ἀλλοτρίων †) καὶ διὰ τοῦτο μηδέποτε παύεσθαι τῆς φροντίδος.

97. Ὡς ἔστι πνιγεύς] Πνιγεύς, ἡ ††) τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες· διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι. 𝔍 Κυρίως δὲ πνιγεύς, ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κράτης ἐν Πανόπταις δράματι περὶ Ἱππῶνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει· ἀφ' οὗ στοχαζόμενοί τινές φασιν, ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἥκεν ἐπὶ τὴν τῶν Νεφελῶν ποίησιν, ὅς γε μήτε πρὸς †††) ἴδιόν τι, μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ' αὐτοῦ ταῦτα

---

*) Legebatur ἔνεστι.

**) Legebatur: τὸ δ' ἄλλο κινοῦν, ἢ ὑπὸ ἄλλου κινούμενον, παῦλαν ἔχει κινήσεως καὶ ζωῆς. Platonis haec verba sunt in Phaedro p. 245. C. apud quem postrema sic scripta sunt: τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινουμένον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς.

***) Ante σοφῶν e superioribus adiectum erat παῦλαν ἔχον.

†) Reizii emendatio. Legebatur ἀλλήλων.

††) Ita ed. princeps. Vulgo ὁ.

†††) Abest πρός. Ernestius locum sic corrigendum putabat, ut post ἁρμόττον adderetur ἐπήγαγεν. Wolfius, ὅς γε μήτε πρὸς ἴδιόν τι, μήτε ἁρμόττον, μηδ' ἓν ἔγκλημα ἦλθε Σωκράτους.

προθεὶς *) ἐγκλήματα, τὸ περὶ οὐρανοῦ, ὅτι ἐστὶ πνιγεύς, καὶ ὡς ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν, καὶ τὸν κρείττονα· τὸ μὲν κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα φαίνεται δὲ καὶ ἐπὶ τούτῳ ὁ Ἱππῶν κωμῳδηθῆναι φθάσας. τὸ δὲ τῶν ἐγκλημάτων, οὐδὲ τὸ σύνολον ἐπικοινοῖ φιλοσοφίᾳ. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν· ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον τῆς ῥητορικῆς· ὡς ἐπ᾽ ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν. οἳ δ᾽ ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, καὶ δι᾽ ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Δίφιλος εἰς Βοίδαν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα, δι᾽ οὗ καὶ εἰς δουλείαν ἐῤῥυπαίνετο ὁ φιλόσοφος **). οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις, εἰ καὶ δι᾽ ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν Εὐπόλιδος· δεξάμενος δὲ Σωκράτης τὴν ἐπίδειξιν Στησιχόρου, οἰνοχόην ἔκλεψεν ***). οἷον δ᾽ ἦν, ὁρᾶν τὸν φιλόσοφον τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον.

99. Οὗτοι διδάσκουσι] Καὶ τοῦτο ψεῦδος, διαβολῆς χάριν. οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει. ἐπεὶ ἐκεῖνος ἔφασκε μηδὲν εἰδέναι. διόπερ καὶ ὑπὸ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἔκρινεν εἶναι σοφόν, τὸ γνωρίσαι, ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων ὁ λέγων περὶ αὐτοῦ, ὅτι οὐδὲν οἶδα.

103. Ἀλαζόνας] Ἀλαζόνας ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη, ἀλαζόνες δοκοῦσιν. Ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ

---

*) Aldina προςθείς.

**) Praeivit Reizius, ita corrigens, δι᾽ οὗ εἰς δουλείαν ἐῤῥυπαίνετο ὁ φιλόσοφος. Legebatur, διὸ οὐκ εἰς δουλείαν ἐῤῥυπαίνετο φιλόσοφος.

***) Commemorat scholiastes eumdem locum Eupolidis ad v. 180. Versus fuere choriambici dimetri:

δεξάμενος δὲ Σωκράτης
τὴν ἐπίδειξιν . . .
Στησιχόρου πρὸς τὴν λύραν
οἰνοχόην ἔκλεψεν.

μόνης ἀρετῆς φροντίζοντες, καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀκέριττον. Πόνηροι δέ, ἀντὶ τοῦ ἐπίπονοι, ἄθλιοι.

105. Καὶ Χαιρεφῶν] Ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν· ὃς ἐκαλεῖτο καὶ Νυκτερίς, διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος*).

106. Μηδὲν εἴπῃς νήπιον] Μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, μηδ' ἀνόητον εἴπῃς. ἀπὸ τοῦ μηδὲ τὰ νήπια παιδία εἰδέναι τι**). ✠ Μωρόν. Glossa.

107. Ἀλλ' εἴ τι κήδει] Ἤγουν φροντίζεις. Πατρῴων δ' ἀλφίτων, ἀντὶ τοῦ, τῶν χρημάτων, ἢ τῆς πατρῴας οὐσίας.

Σχασάμενος] Ἀφείς. Gl. Τὸ δὲ σχασάμενος, ἀντὶ τοῦ καταπαύσας. ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διαχεομένων ὑδάτων. ϑ Ἄλλως. καταλύσας, κατασπάσας, ἀποστὰς τούτου. σχάσαι γὰρ δὴ καὶ ὥςπερ διαστεῖλαι καὶ σχίσαι τὸ ὕδωρ τῇ κώπῃ ἐρεσσούσῃ***). καὶ Πίνδαρος (Pyth. X. 79.), κώπαν ἤδη μοι σχάσαι. καὶ Εὐριπίδης (Phoen. 457.), σχάσον δὲ δεινὸν ὄμμα. ϑ Ἄλλως. Στήσας, καταπαύσας. σχάσαι γάρ, τὸ †) κωπηλατοῦντα στῆσαι τὴν κώπην.

109. Οὐκ ἂν μὰ τὸν Διόνυσον] Εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

110. Τοὺς φασιανούς] Οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα. ϑ Ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρίσταρχον ††), ὀρνίθων γένος. οἳ δέ, ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου κα-

---

*) In libro Ravennate λεπτόφωνος scriptum est.

**) Reizius legebat, ἀπὸ τοῦ μηδὲν τὰ νήπια παιδία εἰδέναι.

***) Verba σχάσαι γὰρ δὴ καὶ ὥςπερ e Suida in σχάσον addidimus. In scholiis hisce legebatur tantum, ὡς διαστεῖλαι et quae sequuntur. Vir doctus in Misc. crit. vol. III. p. 106. interpunctionem post τούτου delebat, ut vulgata scholiastae lectio sensum aliquem haberet. Tum Suidas τὴν κώπην ἐρέσσουσαν habet, et in Pindari loco σχάσαις. Edd. Pindari σχάσον. Reizius post ὑδάτων ponebat haec, ὡς διαστεῖλαι usque ad ἐρεσσούσῃ: tum, ἄλλως· καταλύσας usque ad τούτου: inde, ἄλλως· στήσας usque ad τὴν κώπην, quibus denique illa subiungebat, καὶ Πίνδαρος usque ad δεινὸν ὄμμα. Vide Scholion ad v. 737.

†) Legebatur τόν.

††) Ita scripsimus ex emendatione Ruhnkenii in praefat. ad Hesych. vol. II. p. 7. Legebatur Ἀρχίλοχον.

λοὶ ἵπποι γίνονται. Λεωγόρας δέ, τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ,

ὦ θεῖε Μόρυχε *), νῦν γὰρ εὐδαίμων ἔφυς,
καὶ Γλαυκέτης, ἡ **) ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς ***), οὐδὲν ἐνθυμούμενοι.

Εὔπολις ἐν Αὐτολύκῳ β', ὡς καὶ διὰ Μυῤῥίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκε, φησίν. ℊ Οἱ δέ, ἔχοντας τῷ μηρῷ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δέ, ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δέ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου. † Ἀθήναιος (IX. 9. p. 387. A.)· Καὶ τὸ ἐν Νεφέλαις δὲ ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω, καὶ οὐκ ἐπὶ ἵππων, ὡς οἱ πολλοί·

τοὺς φασιανούς, οὓς τρέφει Λεωγόρας.

δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους τρέφειν καὶ ὄρνεις φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ † ✠ Φᾶσις ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρα ὡς ἱπποτρόφου μέμνηται. οἱ περὶ Ἀρίσταρχον †) ὀρνίθων τι γένος λέγουσι τοὺς φασιανούς. ἢ φασίανοὶ λέγονται οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἐγκεχαραγμένον ἵπποι. Schol. MS. Rav.

110. Ἴθ', ἀντιβολῶ] Πορεύου. νῦν δέ, πείσθητί μοι. τὸ δὲ ἀντιβολῶ, παρακαλῶ, Ἀττικῶς.

111. Καὶ τί σοι μαθήσομαι] Οὐ γὰρ ἑαυτῷ ἔμελλε ††) μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα, ἢ ὠφέλειαν· ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοὶ λέγει. ἤγουν, τί μαθήσομαι ὑπὲρ σοῦ.

113. Ἄμφω τὼ λόγω] Δυϊκῶς ἔκλινε. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύειν ἱκανῶς. ✠ Ψεύδεται κἀνταῦθα ὁ κωμικός, λέγων παρὰ Σωκράτει εἶ-

---

*) Sic Casaubonus ad Athen. IX. 9. Bentleius, Elmsleius ad Ach. 887. Legebatur Μόρυχέ τε νῦν. Μόρυχε τέως γὰρ e Suida in φασιανοὶ Reisigius Coni. p. 72. cum Ruhnkenio, quem v. de Morycho ad Timaeum p. 183. de Leogora autem Sluiterum Lectt. Andoc. p. 11.

**) Legebatur ἡ, et apud Suidam ἥ. v. Porsoni Advers. p. 297.

***) Sic Suidas. In scholiis erat τερπνόν. Casaubonus ad Athen. IX. 9. ἀτερπὲς οὐδὲν ἐνθυμούμενοι.

†) Legitur Ἀρχίλοχον.

††) Legebatur ἔμελε.

ναι τὸν ἄδικον λόγον. οὐ γὰρ Σωκράτης, ἀλλὰ Πρωταγόρας ὁ Ἀβδηρίτης*) ἐφεῦρε αὐτὸν καὶ ἐδίδασκεν. Schol. Cant. 3.

115. Τὸν ἕτερον τοῖν λόγοιν] Τὸν δίκαιον νικᾶν. ὡς ἀγνοῶν δέ, τὸν δίκαιον εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν.

121. Τοὺς ἱππέας τὸ χρῶμα] Οἷον, οὐχ ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς. οἱ δὲ φιλόσοφοι κάτω κείρονται **). Διακεκναισμένος δέ, ἠμαυρωμένος, αἰσχρός, καὶ διεφθαρμένος γενόμενος. § Οἱ γὰρ ἱππεῖς ἐν γυμνασίοις καὶ παλαίστραις διέτριβον. § Οὐ γενοίμην, φησίν, ὠχρός, ὡς οἱ περὶ τὸν Σωκράτη, καὶ ἀνυπόδητος καὶ ῥυπῶν· οἱ γὰρ ἱππεῖς εὔχροι, καὶ ὑποδεδεμένοι, καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι. καὶ ἐν τοῖς Ἱππεῦσι (v. 580.) φησί·

μὴ φθονεῖθ' ***) ἡμῖν κομῶσιν, μηδ' ἀπεστλεγγισμένοις.

τουτέστι λιπῶσι. τοῦτο οὖν ὁ νεανίσκος δεδοικέναι φησί, τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τὰ τῶν φιλοσόφων μετέλθοι †). ❖ Διακεκναισμένος, βεβλαμμένος, ἐφθαρμένος, ὠχρός, οἷόν ἐστι τὸ τῶν φιλοσόφων. Gloss.

122. Οὐκ ἄρα, μὰ τὴν Δήμητρα] Εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς.

123. Οὔθ' ὁ ζύγιος] Ζύγιοι ἵπποι καλοῦνται, οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν, ὁ μέσος δεξιός, καὶ ὁ μέσος ἀριστερός. σαμφόραι δέ, οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται ††).

124. Ἀλλ' ἐξελῶ σ' ἐς κ.] Ἀλλ' ἐκβαλῶ σε καὶ διώξω σε τῆς οἰκίας τῆς ἐμῆς. τραχύτερον †††) δὲ αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, τὴν ἐλπίδα τοῦ πείσειν αὐτὸν ἀπολωλεκώς.

---

*) Sic Dindorfius pro αὐδηρήτης.

**) Kusterus scribendum putabat οἱ δὲ φιλόσοφοι ἀποκείρονται.

***) φθονείτω δ' est in ed. princ.

†) Quae hic sequebantur, vide ad v. 125. Conf. Suid. v. διακεκναισμένη.

††) Et σαμφόρας et σαπφόρας scribi dicit.

†††) Legebatur ταχύτερον.

125. *Μεγακλέης*] Εἰκὸς γὰρ ἦν καὶ τοῦτον σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς ἥδεσθαι, τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα. ὡς ἱππαζομένου δὲ καὶ τούτου μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι *).

127. *Ἀλλ' οὐδ' ἐγὼ μέν τοι*] Ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω, διότι μὴ πέπεικα τὸν υἱόν, οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης. οἷον, οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις.

128. *Διδάξομαι*] Νῦν μὲν παθητικὸν ἀποδεκτέον. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν, κυριώτερον, ἢ διδάξω. διδάξω μὲν γάρ, ὁ φιλόσοφος διδάσκαλος ἐρεῖ, διδάξομαι δέ, ὁ πατήρ, καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτό, ἵν' ᾖ νοούμενον, ἐπεὶ οὐ τὸν υἱόν, ἐμαυτόν. ¶ Διδάξομαι **), ἔφη, ἅτε βαδίζων εἰς τὸ φροντιστήριον. τὸ δὲ ἐμαυτὸν λείπει, τοῦ μέτρου οὐκ ἐπιτρέποντος. ¶ Ἄλλως. Ἀντὶ τοῦ, διδασκάλῳ παραδώσω· ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας ***) χωρεῖ.

130. *Πῶς οὖν γέρων ὤν*] Ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ *βραδὺς* οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν θέλει †).

131. *Λόγων ἀκριβῶν σκινδαλμούς*] Λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. ¶ Σκινδαλμοὺς δὲ λεπτολογίας· ἀπὸ τῆς σχίσεως τῶν καλάμων. ἐξήγησις ††) δὲ καὶ ἐπεξεργασία τῶν ἀκριβῶν λόγων †††) οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων, καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ τῆς εὐθείας ὀξύνεται· ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται.

---

*) Verba ὡς ἱππαζομένου et reliqua Reizius hic collocavit, ita, ut edidimus, emendata. Legebantur ad v. 121. et erat ἱππαζόμενον et τοῦτον.

**) Legebatur ἐμαυτὸν διδάξομαι. recte, si bis scribitur διδάξομαι. Sed praeferendam putavi interpunctionem Wolfii.

***) Reizius coniiciebat διαθέσεις.

†) Legebatur ἀγχίνους εἶναι. ἄνωθεν δὲ τὰ τῆς διανοίας δηλοῦν θέλει. Emendatio ex Suida est in βραδύς.

††) Ἐξάσκησις coniiciebat Ernestius.

†††) Aberat hoc vocabulum, Reizio monente additum. Dukerus τῶν λόγων ἀκριβῶν.

132. *Τί ταῦτ' ἔχων στραγγεύομαι*] Ἀναβάλλω, καὶ διατρίβω. βραδύνω. Glossa. †. Διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι. στράγξ δέ ἐστιν ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ κατιὼν σταλαγμός. † Ἀργῶν πιέζομαι καὶ συνθλίβομαι. Gloss. Vict.

133. *Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν*] Ἀλλ' οὐκ ἔχομαι τῶν ἐγνωσμένων; τοῦτο δὲ παρεγκύκλημα. δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν Σωκράτους. παρατηρητέον δέ, ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων, κόπτειν λέγουσιν· ἐπὶ δὲ τῶν ἔσωθεν, ψοφεῖν. ἱκανῶς δὲ διέστειλε Μένανδρος*), ἐπὶ μὲν τῶν ἔξω, *κόψω τὴν θύραν*, εἰπών· ἐπὶ δὲ τῶν ἔσω, *ἐψόφηκε τὴν θύραν ἐξιών*.

134. *Βάλλ' ἐς κόρακας*] Ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη· ἀντὶ τοῦ, εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρακῶν γενομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἳ δ' ἐν Θετταλίᾳ παρὰ τὸν Παγασητικὸν**) κόλπον εἶδον περιϊπταμένους τοὺς τοῦ ἡλίου ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης· καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες, ἐνταῦθα κατῴκησαν. οἳ δέ, ἐκ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα. Ζηνόβιος***) δέ, ὁ τὰς Ταῤῥαίου καὶ Διδύμου παροιμίας ἐπιτεμών, *Βοιωτοῖς*, φησίν, *Ἄρνην ποτὲ διοικοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ, ἐκπεσεῖσθαι, λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ ἐταράχθησαν, ὡς τῆς μαντείας λαβούσης τὸ τέλος, καὶ φοβηθέντες οἱ νεανίσκοι, τὸν θόρυβον φυγόντες, ᾤκησάν*†) *τινα τόπον, ὃν ἐκάλεσαν Κόρακας. μετὰ δὲ ταῦτα ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν· καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς Κόρακας καλουμένους.*

---

*) Fr. 208. p. 255. ed. Meinekii.

**) Legebatur *Παγαιατικόν*. Emendatum iam ab Wesselingio ad Diodor. XIX. p. 359. indicavit Wolfius.

***) Legebatur *Ζηνόδοτος*. Sed vide Suidam in *Ζηνόβιος*.

†) Wolfius *ᾤκισαν*.

135. *Κικυννόθεν*] Ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς Κικύννα· ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνια *).

136. *Ἀμαθής γε νὴ Δία*] Ἰδιώτης καὶ ἀπαίδευτος.

137. *Ἀπεριμερίμνως*] Ἀμαθῶς καὶ ἀπείρως καὶ ἀνεπιστημόνως. τὸ δὲ *λελάκτικας*, σφοδρότητος καὶ βίας σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, οὐ τὸ κροῦσαι καὶ τὸ προςελθεῖν αἰτιώμενος, (οὐδὲ γὰρ πρὸς φιλοσόφου τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν) τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας.

138. *Ἐξήμβλωκας*] Ἐξέωσας, ἐξέβαλες. Ἐξαμβλῶσαι δὲ ἰδίως ἐπὶ τῶν γυναικῶν λέγεται, τῶν ἀποτικτουσῶν **) θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ ἀμβλωθρίδιον ***), φάρμακον ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν. ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα· ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτούς, ὡς προεῖπεν. τοῦ δὲ Σωκράτους λέγοντος, ὅτι τέχνην ἔχω τὴν μαιευτικήν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτο †) νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ *ἐξήμβλωκας*. ✤ Ἡμιτελῆ ἐποίησας διαφθείρας. Glossa Br. et Vict.

136. *Τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν*] Ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς. πρὸς τὸ σχῆμα, ὅτι αὐτῷ χρῶνται πόῤῥω τῆς πόλεως ††). ἄδηλον δέ, πότερον λέγει πόῤῥω τῶν ἀγροίκων αὐτὸς κατοικεῖν, ἢ ἐν †††) τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι. λέγεται γὰρ αὐτὸ παρὰ τὸ Εὐριπίδειον (Fr. inc. 196.)·

τηλοῦ γὰρ οἴκων βιοτὸν ἐξιδρυσάμην.

140. *Τὸ πρᾶγμα*] θεώρημα. Gl. Vict.

141. *Ἀλλ' οὐ θέμις*] Ἀλλ' οὐ δυνατόν. δηλονότι ἐπὶ

---

*) Legebatur Ἀπολλώνεια.

**) Ed. princeps ἀπὸ τῶν τικτουσῶν.

***) Aberat hoc vocabulum, aliter paullo repositum a Kustero. Vide Suidam in ἐξήμβλωκας.

†) Reizius et Wolfius τοῦτο. Legebatur τοῦτον.

††) Scholion libri Ravennatis ita habet: πρὸς τὸ σχῆμα, οὕτω χρῶνται πόῤῥωθεν ἐπὶ τῶν ἀγρῶν, ὅτι ἄγροικός εἰμι.

†††) Ἐν, ab Ernestio additum, aberat.

διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν.

145. *Ἀνήρετ' ἄρτι*] Ἐπύθετο, ἀνηρώτησεν. *ἄρτι* δέ, ἀντὶ τοῦ ἐξ ὑπογυίου· ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους, ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται, καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν.

Χαιρεφῶντα] Τῶν πάνυ γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν (Mem. Socr. II. 3.), Σωκράτην ξυνάγοντα αὐτοὺς λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν *). δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθὼ δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν·

σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης·
ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος **).

τοῦτον τὸν χρησμὸν Δημοχάρης ***) ἐν τῇ κατὰ φιλοσόφων, ψεύδεσθαί φησι τὴν Πυθίαν. τοὺς γὰρ Πυθικοὺς †) χρησμοὺς ἐξαμέτρους εἶναι· καὶ ἔστι δὲ παρὰ κωμικῶν τινί·

εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται ††).

ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους χρησμοί, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, τὸ μὲν καὶ ἐπ' ἐμοῦ μέχρι καὶ νῦν κεχρηκέναι τὸν Πύθιον οὕτω, παρήσω λέγειν· ἀλλὰ τῶν ἀρχαίων, παραδείγματος ἕνεκα, χεῖρον οὐδὲν μνη-

---

*) Ita etiam Suidas in Χαιρεφῶν. Aldina locum corruptum habet.

**) Ravennas liber praeter prima verba, τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν, haec tantum habet, δήμου δὲ ἦν, usque ad σοφώτερος. Sic enim scriptum pro σοφώτατος.

***) Hoc nomen pro ὁμολογῶν ex Menagii coniectura ad Diog. Laert. II. 37. reposui. Conf. Schweighaeus. ad Athen. V. p. 218. E. T. III. p. 243. Sed male Menagius ὁ Δημοχάρης.

†) Legebatur φυσικῶς.

††) Ita hoc oraculum emendavit Toupius in Emend. Suid. vol. III. p. 168. (II. p. 207. ed. nov.) e Diogene Laert. VII. 2. et Suida in συγχρωτίζεσθαι, in quibus scriptum, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς. Hic legebatur, πῇ συγκεχωρῆσθαι τῷ χρησμῷ δύναται.

μονεῦσαι. οὗτος μὲν γάρ ἐπί τῳ φέρεται ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας·

ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις.

ἐν Λέσβῳ δὲ Γουναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι, αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὴν ἄρνα τὴν χρυσῆν, ἕτερα παρέχοντα κειμήλια. ἔστι δ' οὕτως·

ὃ βούλομαι, δός· μὴ δίδου δ', ὃ μὴ θέλω *).

φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς Νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.

146. Ψύλλαν ὁπόσους ἅλλοιτο] Ψύλλαν μὲν Ἀττικῶς, ὃν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτο, τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν, ὁπόσους τούτους πηδήσειε. δῆλον δέ, ὅτι ταῦτά φησι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα, ὡς ἰσχνά, καὶ λόγου μηδενὸς ἐχόμενα. διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν αὐτῷ λέλεκται.

147. Τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν] Ἰστέον, ὅτι αὐτοπροςώπως εἰςῆγον τοὺς κωμῳδουμένους, καὶ ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνημόνευσε μέρους τοῦ σώματος, ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. ὃ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν· ὃ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.

151. Τὼ πόδε] Δυϊκὸν τὼ πόδε, ἐπὶ τῆς ψύλλης κακῶς. λέγεται γὰρ ἓξ ἔχειν πόδας. Ψυγείσῃ δέ, ἀντὶ τοῦ θανούσῃ.

152. Περσικαί] Εἶδος ὑποδήματος αἱ Περσικαί, ὡς καὶ Ἡρόδοτος**). ἐπεὶ καὶ δένδρου ὄνομά ἐστι Περσικαί, διὸ καὶ περιέφυσαν εἶπεν, ὡς ἐπὶ δένδρου. § Ἔστι μὲν γὰρ καὶ δένδρον, ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων περιέφυσαν εἶπεν.

153. Ταύτας ὑπολύσας] Ἀδύνατον. οὔτε γὰρ ὑπόδημα δύναται φορέσαι ψύλλα, οὔτε ὑπολύσασθαι, οὔτε μετρῆσαι

---

*) Locus hic scholiastae corruptus exstat apud Suidam in ἀνάθημα. Reizius probabat Kusteri coniecturam, ἕτερα δὲ παρέχοντι κειμήλια. Alia iambica oracula sunt apud Herodotum I. 174.

**) Locus non exstat in Herodoto. Vnde hoc nomen corruptum esse patet. Ruhnkenius coniiciebat Ἡρωδιανός.

τῷ προςπλασθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ πηδήματος *). ς Ἀλλ' ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φῦναι φύσιν ἔχει· οὔτε τῶν τῆς ψύλλης ποδῶν ταῦτα δυνατὸν ἦν ἐξελεῖν, καὶ διαμετρῆσαι τῷ τοῖς ποσὶν αὐτῆς προςπλασθέντι κηρῷ τὸ διάστημα τοῦ πηδήματος.

157. Σφήττιος] Ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς.

158. Ὁπότερα τὴν γνώμην] Ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλογίζεται περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα, ἀντὶ τοῦ ὁποτέρως. Ἐμπίδας δέ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν· οἱ δέ, εἶδος κώνωπος παραποτάμιον, ζώνην ἔχοντος **).

159. Κατὰ τὸ στόμ' ᾄδειν] Ἀντὶ τοῦ, διὰ τοῦ στόματος φθέγγεσθαι καὶ βοᾶν, ἢ διὰ τοῦ ὀῤῥοπυγίου. τὰ γὰρ τοιαῦτα τῶν ζῴων τροφὴν μὲν λαμβάνει στόματι, φθέγγεται δ' αὐτῷ οὐκέτι. καὶ γάρ ἐστιν ἐκ τῶν τεττίγων τοῦτο καὶ τῶν ἐγκελάδων ἰδεῖν, ἃ καὶ οὕτω προςηγορεύθησαν, ἐπεὶ ἐν αὐτοῖς τὸν κέλαδον ἔχουσιν. ς Οὕτω γὰρ καὶ τὰ τοιαῦτα ζῷα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ γὰρ τούτου ***) λάβοιο, κἂν ****) οὔτε φθέγξαιτο τὸ ἐγκέλαδον, οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι προΐοι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως, καὶ τὰ τοιαῦτα ζῷα καλεῖται μὲν παρά τισι βομβύκια †), καλεῖται δὲ καὶ ἔντομα ††), ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται †††)· ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν, καὶ κανθάρων, καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα. διὸ καὶ φθέγγεσθαι ἀξιοῦσιν αὐτά.

---

*) Ernestii correctio. Legebatur ὑποδήματος, et hic et paullo post.

**) Ernestiana editio, εἶδος κώνωπος, παραποτάμιον ζωὴν ἔχοντος, ex Porti coniectura. Sed recte Ald. et reliquae ζώνην. Suidas: ἐμπίς, κώνωψι παραπλήσιον ζωΰφιον, παρὰ τοῖς ὕδασι γινόμενον, ὅμοιον κώνωπι, μεῖζον δὲ τῇ περιοχῇ, καὶ κατὰ τὸ μέσον λευκῷ περιεζωσμένον. Ἀριστοφάνης (in Avibus v. 244.), ἐμπίδας κάπτετε, ἀντὶ τοῦ ἐσθίετε. Πισίδης,

κύκλῳ περισφίγξαντες ἐμπίδων δίκην.

Vide schol. ad Aves 244.

***) Sic Ernestius. Legebatur τοῦτο.

****) Legebatur καί.

†) Kusterus et Reizius βομβυλιά. Vide Suidam v. βομβυλιός. Vulgatam defendit Schneiderus ad Aristot. H. A. vol. III. p. 372 seq.

††) Ernestii correctio. Legebatur ἐντόμια.

†††) Legebatur ἐκτέτμηνται.

166. *Σάλπιγξ ὁ πρωκτός*] Τοιαύτη γάρ*). ℈ Κατὰ μὲν τὸ **) ἀνώτατον, καὶ πρὸς τὸ ἄκρον κοίλη ἡ σάλπιγξ, τὰ κάτω δὲ στενή. διὸ καὶ ὀξὺ ᾄδει.

167. *Τοῦ διεντερεύματος*] Τοῦ ἐρωτήματος τοῦ περὶ ***) τοῦ ἐντέρου. ℈ Τοῦ ἐπινοήματος, ἢ τῆς λύσεως τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου τῆς †) ἐμπίδος. ℈ Ἐπειδὴ δὲ περὶ τῶν τῆς ἐμπίδος ἐντέρων λέγει, ἔπαιξε παρὰ τὸν ὑπὸ τοῦ Σωκράτους λόγον, τὸν περὶ τῆς ἐμπίδος ἐντέρου. ✠ Τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας καὶ φυσιολογίας. Glossa.

170. *Γνώμην μεγάλην ἀφῃρέθη*] Οἷον, ἐστερήθη ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. λέγεται δὲ καὶ ἀσκαλαβώτης καὶ γαλεώτης.

174. *Ἀπὸ τῆς ὀροφῆς*] Καὶ ἀρσενικῶς ὁ ὄροφος, καὶ θηλυκῶς ἡ ὀροφή· ὡς τό,

πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά,

ἐν Λυσιστράτῃ (v. 229.)· καὶ ἐν Σφηξὶν (v. 1215.)·

ὀροφὴν θέασαι.

176. *Ἐχθὲς δέ γ' ἡμῖν*] Λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον, ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴγε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν, οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον.

178. *Λεπτὴν τέφραν*] Ἰσχνὴν σποδόν. οὐχ ἁπλῶς τὸ λεπτὴν προςέθηκε, πρὸς τὴν ὁμοίωσιν τῶν ἀλφίτων. ταῦτα γὰρ ††) παραπλήσια. ℈ Ἰσχνὴν δὲ τέφραν, τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτὴν προςέθηκε, πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις. ✠ Τέφρα δὲ ἡ τῶν κεκαυμένων ξύλων κόνις. Schol. Ms. Rav.

179. *Κάμψας*] Καμπύλον ποιήσας, ὥςπερ ὀγκίνων εἴδη †††). ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος (Prior pars versus est Iliad. IX. 215. posterior, 210.)·

---

*) Reizius addendum putabat σάλπιγξ.

**) Articulum recte addit ed. princeps.

***) Legebatur διά.

†) Legebatur καὶ ἐμπίδος.

††) Legebatur τῶν ἀλφίτων, καὶ τὰ παραπλήσια. Reizius καὶ delebat. Wolfius ταῦτα γὰρ παραπλήσια vel simile quid scribendum censet. Illud recipiendum duximus.

†††) Legebatur εἴδει.

αὐτὰρ ἐπεί ῥ' ὤπτησε, καὶ ἀμφ' ὀβελοῖσιν
ἔπειρεν.

ἀλλ' ἐπειδὴ ἔδεσμα ἦν οὐδὲν πρὸς τὸ ὀβελίσκου δεῖσθαι, πρὸς τὸ λαβεῖν*), καὶ ἁρπάσαι τι, καὶ κατασχεῖν, τὸ καμφθῆναι τοῦτον ἦν χρήσιμον. ℑ Ἔτι δὲ μέλλων εἰπεῖν, ὅτι ὑφείλετο, ὀρθὸν ὄντα, φησί, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι' αὐτοῦ δυνηθῇ κλέψαι τὸ ἱμάτιον. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόῤῥωθεν ἁρπάσωσιν, ὃ βούλονται.

Εἶτα διαβήτην λαβών] Ἐργαλεῖον ὁ διαβήτης, πολλαῖς εὔχρηστον τέχναις, τῷ Λ στοιχείῳ παρεοικός. τούτου τὸ ἓν ἐντιθέντες μέρος, καὶ τὸ ἕτερον περιάγοντες, καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου.

180. Ἐκ τῆς παλαίστρας] Ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους·

Στησιχόρου πρὸς τὴν λύραν
οἰνοχόην ἔκλεψεν**).

ἐμφαίνει δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο***), ἵνα αὐτοὺς ὁρῴη.

Ὑφείλετο] Τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν, μετέβαλεν αὐτὸν εἰς τὰ ἄλφιτα. ℑ Ἄλλως. Δέον γὰρ αὐτὸν εἰπεῖν, κατέγραψεν, ᾧ τέως προςέχοντες οὐκ ἐκινήσαμεν, καὶ σχήματά τινα ἐπεποιήκει †), εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβε τὸ ἱμάτιον. διαβάλλει δὲ αὐτόν, ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκα διατρίβοντα. ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. ℑ Ἄλλως. Ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες, διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας, καὶ διαβήτου σχῆμα διαλαβών, πάντας πρὸς αὐτὸν ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον.

181. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν] Οὗτος ἐγένετο τῶν ††) ἑπτὰ σοφῶν εἷς, Μιλήσιος· ὃς πρῶτος τὰ περὶ οὐρα-

---

*) Legebatur πρὸς δὲ τὸ λαθεῖν.

**) Vide scholia ad v. 97.

***) Legebatur ἐξητάζοντο.

†) Reizius corrigebat κατέγραψέ τι, et, ἢ σχήματά τινα ἐνεποίει ἐκεῖ.

††) Articulum Aldina addit.

νὸν ἐξεῦρε. παρατηρητέον δέ, ὅτι ἀπ' εὐθείας τῆς ο Θαλῆς, ὡς Ἑρμῆς, Ἑρμῆν, Θαλῆν, καὶ Ἑρμέας, ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρύτονον μέν, Θάλης, ὡς Χρέμης· οὗ ἡ γενική, Θάλητος, ὡς Χρέμητος, Θάλητι, Θάλητα. ὡς τό,

Θάλητα χρημάτων ἐλεύθερον *).

ἔτι**) δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς· καὶ Θαλοῦ, ὡς Ἑρμοῦ. § Ἄλλως. Ὁ Θαλῆς οὗτος Μιλήσιος εἷς τῶν ἑπτὰ σοφῶν. οὗτος ἄκρως***) μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμόν, μέγιστον ὄντα, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν, οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθέν, τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει, θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιάν· καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομήν, ἵνα καὶ ἐπανιόντες περαιωθήσονται****).

184. *Μαθητιῶ*] Ἀντὶ τοῦ, μαθεῖν ἐπιθυμῶ.

185. *Ὦ Ἡράκλεις*] Πεποίηκε γὰρ τὸ προςταχθὲν ὁ φιλόσοφος, καὶ ἀνέῳξε τὰς θύρας. ὃ δὲ εἰςελθὼν καὶ θεασάμενος αὐτοὺς καθημένους, ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας, τεθαύμακε μηδὲ ὄψεις ἀνθρώπων †) διὰ τὴν ὠχρότητα ἔχοντας. § Ὁρᾷ δὲ ὡς φιλοσόφους ὠχριῶντας ††), στραφέντος τοῦ ἐκκυκλήματος †††).

187. *Τοῖς ἐκ Πύλου ληφθεῖσι*] Πύλος, χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας ἔλαβεν αἰχμαλώτους, προανύσαντος τὸν πόλεμον Δημοσθένους καὶ Νικίου. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν αἰχμαλωτισμοῦ φόβον, καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ, καὶ ἀφ' ἧς

---

*) Veri similis est, quam G. Dindorfius mecum communicavit coniecturam, Callimachi haec ex choliambis verba esse.

**) Legebatur εἰ. Ἔτι liber Ravennas, in quo hoc scholion verbis ὡς Ἑρμῆς finitur, paucis mutationibus factis. Illa, καὶ Ἑρμέας ὡς Θαλέας absunt.

***) Legebatur ἄκρος.

****) Legebatur περαιωθήσωνται.

†) Aberat hoc vocabulum.

††) Sic Reizius. Legebatur κομῶντας. Ὡς ante φιλοσόφους delebat Reizius et ante στραφέντος collocabat.

†††) Legebatur ἐγκυκλήματος. Vide Pollucem IV. 128. schol. ad Acharn. 407. Kuster. ad Thesmoph. 102.

οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνοὺς καὶ δυςώδεις γεγονέναι*). ἰστέον δέ, ὅτι τρεῖς ἐπωνυμίας εἶχε τότε, Πύλος, Κορυφάσιον, Σφακτηρία. 𝔖 Ἄλλως. Πύλος, νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Λάχης **) προκατασχών, ὁ τῶν Ἀθηναίων στρατηγός, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος, τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς. Λακεδαιμόνιοι γοῦν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ καὶ παραστησάμενοι, ἄνδρας ἑπτακοσίους***) ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων μετὰ τῆς στρατιᾶς, καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας, ὕστερον παρεστήσατο, καὶ αἰχμαλώτους λαβών, Ἀθήναζε ἤγαγεν· οἳ διά τε τὸν πολὺν λιμόν, ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἱρκτήν, πάνυ ὠχροὶ ἦσαν.

188. Ἀτὰρ τί ποτε] Διὰ τί ἄρα. εἰςελθὼν δὲ ἐπὶ συννοίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους, ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος, καὶ συγκεκυφότας εἰς γῆν.

189. Βολβούς] Τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι.

191. Ἐγὼ γὰρ οἶδ'] Ὡς ἀγροῖκος φησὶν εἰδέναι τῶν περὶ Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται.

192. Οἱ σφόδρ' ἐγκεκυφότες] Τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος (Iliad. III. 217.)·

> στάσκεν, ὑπαὶ δὲ ἴδεσκε, κατὰ χθονὸς ὄμματα πήξας.

✠ Ἐγκεκυφότες. κύπτοντες κατὰ γῆς. Gl. Vict.

193. Ἐρεβοδιφῶσιν] Τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. † Ἐρευνῶσιν, ἐξετάζουσι. Τάρταρος δὲ ἐστίν, ὁ ὑπὸ γῆν κατώτατος τόπος. †

---

*) Thucyd. IV. 27 — 40.

**) Iam Reizius et Wolfius Demosthenem hic nominandum fuisse notarunt, ut supra, et ad Equites v. 1050. 1053. 1057.

***) Apud Thucydidem IV. 8. numerantur quadringenti et viginti, praeter Helotes.

194. *Τί δῆθ' ὁ πρωκτός*] Ἴσως ἐγγύθεν τοῦτο εἴληφεν ἐκ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ*) * * * * ἀστρονομεῖν διδάσκεσθαι λέγει· ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων, ἄνω τὸν πρωκτὸν βλέπειν.

196. *Ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος*] Κατὰ τὸ σιωπώμενον, ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις φησίν, ὅτι εἴσιτε, ἀντὶ τοῦ εἰσέλθετε, ἵνα μὴ ὁ Σωκράτης εὕρῃ ἡμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' *ἐκεῖνος*, κατ' ἐξοχήν. ϑ Ἄλλως. Τὸ ἐκεῖνος, τὸ αὐτός, ἀντὶ ὀνομάτων παραλαμβάνουσι. καὶ *Ὅμηρος* (Iliad. XXIV. 90.) παρεισάγει τὴν Θέτιν λέγουσαν·

τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός.

καὶ παρὰ Πυθαγορείοις τὸ *αὐτὸς ἔφα*, τουτέστιν, ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς, *αὐτός*, ἤγουν ὁ Σωκράτης.

200. *Ἔξω διατρίβειν*] Εἰ γὰρ θεάσεται αὐτοὺς ἔξω, δυσχερανεῖ τὰ μέγιστα Σωκράτης. Gl. Vict.

201. *Πρὸς τῶν θεῶν, τί ταῦτα*] Εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη, ἄβακα, ἢ σφαῖραν, ἢ γεωγραφίαν **). καὶ ἐρωτᾷ τί ἐστι.

202. *Ἀστρονομία*] Σφαῖραν δείκνυσι. Glossa.

Τουτὶ δὲ τί] Διαγράμματά τινα καὶ πίνακας δείκνυσιν ἀστρονομικῶν καὶ γεωμετρικῶν.

204. *Πότερα τὴν κληρουχικήν*] Ὡς ἄγροικος ταῦτά φησι. τὴν ἰδιωτικήν, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν τελοῦσαν· ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.

206. *Τὸ γὰρ σόφισμα δημοτικόν*] Οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἀβάκιον· ἢ τοιοῦτόν τι δημωφελές. ϑ Μάθημα τῷ δήμῳ συμφέρον.

208. *Αἵδε μὲν Ἀθῆναι*] Χωρογραφίαν δείκνυσιν αὐτῷ. τινὲς ἔνθεν ἕως τοῦ *οἱ 'μοὶ δημόται* τοῦ γέροντός φασιν. τὸ δὲ ἑξῆς, *ὡς τοῦτ' ἀληθές*, ἐν ἐρωτήσει. ὡς τοῦτό σοι δοκεῖ

*) Portus addidit ᾄδειν ἔλεγεν. Manifesta laçuna.
**) Legebatur ζωγραφίαν.

Ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν. ἔνιοι δὲ διαιροῦσι. καὶ κατ' ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου, καὶ ἐν ἀποφάσει δύναται *).

209. Ἐπεὶ δικαστὰς οὐχ ὁρῶ] Κατηγορεῖ Ἀθηναίων ἐνταῦθα, ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων, καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ.

213. Ἡδί] † Αὕτη. Ἤγουν ἰδού. †

Παρατέταται μακρά] Διὰ τὸ σχῆμα· λέγει **) δὲ τὸ ἐπίμηκες τῆς θέσεως. διὸ καὶ Μάκρις ἐκλήθη. ἐπιμήκης γὰρ ἦν. κλίνεται δὲ ἡ Μάκρις αὕτη διὰ καθαροῦ τοῦ ο. διὸ καὶ ὁ νησιώτης αὐτῆς, Μακριεύς. ἦν δὲ καὶ αἰγιαλὸς οὕτω λεγόμενος, κλινόμενος δὲ διὰ τοῦ δ. ἐλέγετο δὲ Μάκρις καὶ τῶν κυκλάδων μία, ἡ Ἴκαρος· ἀφ' ἧς νομίζουσί τινες εἰρῆσθαι καὶ τὸ Ἰκάριον πέλαγος ***).

214. Ὑπὸ γὰρ ἡμῶν παρετάθη] Εἰς φόρον ἐξετάθη, πλείονα φόρον παρέχουσα. δηλοῖ δὲ καὶ τὸ ἠπλῶσθαι. ἐκληρούχησαν δὲ Ἀθηναῖοι, κρατήσαντες αὐτῆς. πρὸς τὸν χρόνον δὲ ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου, τὸ σχῆμα τῆς θέσεως****) δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. οὕτω πρὸς τὸ παρατέταται †), ἐν ᾧ ἡ θέσις δηλοῦται, καὶ αὐτὸς ἐπήνεγκε τὸ παρετάθη· ἴσον τῷ ἐξετρυχώθη καὶ κατεπονήθη. ¶ Περικλέους δὲ στρατηγοῦντος, Ἀθηναίους ††) καταστρέψασθαι αὐτὴν πᾶσάν φησι Φιλόχορος· καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ παρασταθῆναι * * * †††) Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν, ἐν πολέμῳ νικήσας τοὺς Ἄβαντας. διὸ παρετάθη τοῖς φόροις καὶ ἐπεφορτίσθη· ὡς τῶν

---

*) Ita Reizio auctore edidimus. Postrema verba inde ab ἔνιοι δὲ legebantur post illa, τοῦ γέροντός φασιν.

**) Legebatur λέγω.

***) Scholion hoc depromptum est e commentariis Eustathii ad Dionysium Periegeten v. 520.

****) Ernestii correctio. Legebatur λέξεως.

†) Legebatur περιτέταται.

††) Hoc vocabulum omittitur.

†††) Παρασταθῆναι Ernestio debetur. Legebatur κατασταθῆναι. Reizius pro μὲν ἄλλην coniiciebat Οἰχαλίαν, vel Πεταλίαν. Sed additis lacunae signis, nihil mutandum.

Ἀθηναίων ἐπιτεινάντων τοὺς φόρους αὐτῆς. ϑ Ἄλλως. Τοῦτό φησιν ὁ Στρεψιάδης, οὐ νοήσας τὸ παρὰ τοῦ μαθητοῦ λεγόμενον τό παρατέταται μακρὰ πόῤῥω πάνυ ὅ τι νοεῖ. ὃ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια, ὃ δὲ ἐπὶ αὐξήσεως τοῦτο φόρων ἐξέλαβε. παραστησάμενος γὰρ Περικλῆς τὴν Εὔβοιαν, ἐξέτεινε τοὺς αὐτῆς φόρους*) ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ παρατέταται μακρὰ πόῤῥω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα· ὑπὸ γὰρ ἡμῶν **) καὶ Περικλέους παρετάθη.

Παρετάθη] Ηὐξήθη τοῖς φόροις. Gl. Vict.

216. Τοῦτο πάνυ φροντίζετε] Τοῦτο λέγει, ὅτι προσέκειτο Ἀθηναίοις. γράφεται μέγα, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ φροντίζετε, ἀντὶ τοῦ μεταβουλεύεσθε. Ἐγγὺς δὲ ἡμῶν διὰ τοῦτό φησι, διὰ τὸ ἐν χωρογραφίᾳ σύνεγγυς παρεῖναι· ἐπεὶ οὐκ εἰσὶν οὗτοι ἀστυγείτονες.

217. Ἀπαγαγεῖν] Ἀποστῆσαι. Gl. Vict.

218. Οἰμώξεσθ' ἄρα] Συνεχῶς ὑπ' αὐτῶν ληϊζόμενοι. Glossa.

219. Φέρε, τίς] Ἀντὶ τοῦ ὑπόθου ***). Ἀττικὴ δὲ ἡ σύνταξις. ϑ Κατὰ δὲ διάνοιαν, ἧς προτάσσεται, σημαίνει πλείονα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ· ἐν ἄλλοις δὲ σημαίνει ἄλλο τι, ὥςπερ Δημοσθένης· φέρε ἂν λόγον†) ἡμᾶς ἀπαιτήσωσιν οἱ Ἕλληνες ὧν νῦν παρήκατε καιρῶν. ἐνταῦθα γὰρ βούλεται λέγειν, ὅτι ὑπερεθέμεθα. Κρεμάθρα δὲ λέγεται, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμωμένην. ἔστι δὲ σκεῦος, εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. ϑ Ἄλλως. Παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμαστῇ καθήμενον, καὶ τοῦτον εἰςελθόντα καὶ θεασάμενον αὐτόν, οὕτω πυθέσθαι. Κρεμαστὴ δὲ λέγεται, διὰ τὸ οὔ-

---

*) Legebatur πόρους. Φόρους etiam Brunck. qui verba παραστησάμενος usque ad παρετάθη e MS. affert.

**) Legebatur ὑμῶν. Ἡμῶν etiam schol. MS. apud Brunckium.

***) Legebatur ἀντὶ τῆς ὑπό. Suidas: φέρε, οἷον ὑπόθου, ἄγε οὖν. ἀρχαία ἡ σύνταξις. Scripsit, puto, ut noster, Ἀττικὴ ἡ σύνταξις.

†) Aberat hoc vocabulum, et mox legebatur παρήκασθε. Truncavit scholiastes locum Demosthenis, qui legitur T. I. p. 98. ed. Reisk.

τως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. γελοίου δὲ χάριν ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι.

220. *Αὐτός*] Τιμῶν τὸν διδάσκαλον, οὐκ εἶπε πρῶτον τὸ ὄνομα.

221. *Ἀναβόησον*] Τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης καὶ τοῦτο. οἷον, οὐκ ἤκουσέ μου, αὐτὸς σὺ βόησον.

Αὐτόν] Ἐν εἰρωνείᾳ· καὶ οὐκ ὀκνεῖ τοῦ *αὐτὸς* μνημονεύειν Ἀριστοφάνης*).

224. *Ὦ Σωκρατίδιον*] Ἀντὶ τοῦ ὦ Σώκρατες, ὑποκοριστικῶς. διαβάλλει αὐτόν**).

Τί με καλεῖς, ὦ 'φήμερε] Ἀντὶ τοῦ ὦ θνητέ· ὦ ἐφήμερα φρονῶν, καὶ ὑπερφρονῶν τὰ τῶν ἀνθρώπων. ℌ Ἄλλως. Ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφαίνειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ οἷον τοῦ παρὰ *Πινδάρῳ* Σειληνοῦ φωνήν. ὁ γάρ τοι *Πίνδαρος* (fragm. p. 85. ed. Schneid. p. 148. ed. Heyn. p. 632. seq. ed. Boeckh.) διαλεγόμενον παραγαγὼν τὸν Σειληνὸν τῷ Ὀλύμπῳ***), τοιούτους αὐτῷ περιέθηκε λόγους·

> *ὦ τάλας ἐφάμερε, νήπια βάζεις*
> *χρήματά μοι διακομπέων*†).

ἅμα δὲ ὡς ὑπερηφανοῦντος τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν καλοῦντα τὸν γέροντα.

226. *Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον*] Ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο γὰρ καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. τὸ δὲ *περισκοπῶ τὸν ἥλιον*; ἀντὶ τοῦ διανοοῦμαι καὶ περιεργάζομαι τὸν τούτου δρόμον††). ἔγκειται δὲ ἅμα καὶ

---

*) Haec putavimus huc referenda esse. Legebantur ad v. 240. vitiose scripta.

**) Apud Invernizium in addendis, ubi ὑποκοριστικῶς διαβάλλει αὐτὸν iuncta sunt.

***) Legebatur Ὀλυμπίῳ.

†) Vulgo hic et apud Suidam in ὦ 'φήμερε legitur νήπιε. Νήπια, ni fallor, iam Reizius correxerat. Pro βάζεις in scholiis erat βαδίζεις, ac tum διαπομπεύων.

††) Ita et hactenus etiam scholion libri Ravennatis. Vulgo postrema inde a τὸ δὲ περισκοπῶ absunt, et ante illa, ἐπιβαίνω τῷ ἀέρι, legitur: ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον, τὸν τούτου δρόμον. Sic Aldina. Vulgo καὶ τὸν τούτου δρόμον.

τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως. ἴσον γὰρ τῷ καταφρονῶ. ℊ Ἄλλως. Ὅτι περιφρονῶ εἶπε, καὶ οὐ περισκοπῶ· ἵν', ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ, καὶ ἀντὶ τοῦ ὑπερφρονῶ*), ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται· ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει, καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μονονοὺ τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. ✠ Περιεργάζομαι καὶ περισκοπῶ τὴν τοῦ ἡλίου πορείαν. Gl. Vict.

227. Ἔπειτ' ἀπὸ ταῤῥοῦ] Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς, ταλάρους**) καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν ἐφ' ἧς Σωκράτης ἐκρέματο. ℊ Ἄλλως. Ταῤῥὸς μετέωρόν ἐστι ἰκρίον, ἐφ' ᾧ ἀλεκτορίδες κοιμῶνται. ἔφη δὲ***) ὑπερφρονεῖς ἀντὶ τοῦ εἰπεῖν, περινοεῖς καὶ περισκοπεῖς· ἵνα διαβάλῃ τὸν Σωκράτην ὑπερφρονοῦντα ****) τῶν θεῶν. ✠ Ὑπερφρονεῖς. καταφρονεῖς. Gl. Vict.

228. Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς] Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα; ✠ Εἴπερ ἔξεστι περιφρονεῖν τοὺς θεοὺς δηλονότι. Schol. MS. apud Brunck.

✠ Εἴπερ] ἔδει καταφρονῆσαι ἐκείνους. Gl. Vict.

229. Ἐξεῦρον ὀρθῶς] Ἀκριβῶς.

Τὰ μετέωρα] Τὰ ὑψηλὰ καὶ οὐράνια. περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα †).

231. Λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα] Ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, λέγων τὴν αἰτίαν, δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησὶ περιιδεῖν ††) τὰ μετέωρα πράγματα. Ὅμοιον δὲ εἶπε τὸν ἀέρα, ἀντὶ τοῦ ὁμοιολεπτομερῆ. ψυχρὰν δὲ καὶ ματαίαν αὐτῷ †††) πεποίηκε παρέχοντα λύσιν.

---

*) Legebatur περιφρονῶ.
**) Ernestius corrigebat ταῤῥούς, quo non opus.
***) Particula addita ex Aldo.
****) Vulgo τὰ τῶν θεῶν. Priorem articulum omittit Aldina.
†) Sequebatur hic scholion, quod ad v. 232. pertinet.
††) Legebatur περιθεῖν.
†††) Sic Reizius. Legebatur αὐτῇ. Fortasse ταύτην scripsit.

232. *Εἰ δ' ὢν χαμαί*] Ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει*)·

233. *Οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ*] Ἀντὶ τοῦ, καὶ γάρ. Ἀττικῶς. *Καλλίμαχος* (Fragm. XCII. p. 461.)·

ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω.
ἀντὶ τοῦ, καὶ γὰρ ἥκω.

234. *Τὴν ἰκμάδα*] Τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ περὶ τὴν κρᾶσιν τῶν ἀέρων τὸ ὀξύτερον ἢ τὸ ἀραιότερον**) ἐπιβάλλειν τοῖς θείοις. Ϡ Διαπαίζει δὲ τὰ τῶν φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ.

235. *Πάσχει*] ✝ Τὸ δὲ πάσχειν οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος, αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. ✝

Καὶ τὰ κάρδαμα] Εἶδος λαχάνου ἀγρίου παρὰ Πέρσαις***). νῦν δὲ τὴν σφάκον†) λέγει. ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται, καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενον αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται.

237. *Ἡ φροντὶς ἕλκει*] Δέον εἰπεῖν, ἡ γῆ ἕλκει εἰς††) τὰ κάρδαμα· ὁ δὲ ὡς ἰδιώτης συνέχεε τὴν φράσιν, καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. Ϡ Τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμάθειαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον.

240. *Ἦλθες δὲ κατὰ τί*] Ἐντεῦθεν κατέρχεται κατὰ τὸ σιωπώμενον. φθάσαντι δὲ αὐτῷ λέλεκται†††).

241. *Ὑπὸ γὰρ τόκων*] Ὅτι χρήστας Ἀριστοφάνης τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρή-

---

*) Haec legebantur ad v. 229. post τὰ ζητήματα.

**) Aldina ἀριστερόν.

***) Hactenus etiam scholion libri Ravennatis. In editis pro λαχάνου est βοτάνης.

†) Emendatio Kusteri. Legebatur σκάφον.

††) Aberat εἰς.

†††) Legebatur: φθάσαντι δὲ αὐτῷ λέλεκται ἐν εἰρήνῃ, καὶ οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν Ἀριστοφάνης. Post λέλεκται interpungendum esse vidit Reizius. Reliqua nos retulimus ad v. 221.

στας καλεῖ. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι· τοὺς δὲ ὀφειλέτας, χρεωφειλέτας καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως·

φεῦγε χρήστης κακοῦ ἔμμεναι ἀνδρός,
μή τί σ' ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαιτέων*).

ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται (v. 80. Brunckio 78.)·

μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.

242. Τὰ χρήματ' ἐνεχυράζομαι] Τουτέστιν, εἰς ἐνέχυρον ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια, καὶ σκεύη, καὶ ἄλλα.

243. Πόθεν δ' ὑπόχρεως] Ὡς ὑπὸ νοσήματός τινος, οὕτως εἰςήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν, πόθεν δὲ συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνος ἑξῆς λέγει, νόσος μ' ἐπέτριψεν ἱππική. ἐκ ποίας δέ τινος, φησίν, αἰτίας ἔλαθες σεαυτὸν πολλοῖς ὑποπεσὼν δανείοις;

244. Νόσος] Ἔστι γὰρ ὡς ἀληθῶς νόσος καὶ τὸ ἵππους τρέφειν. δαπανηρὸν γάρ, καὶ οὐκ ἔχον τοὺς καρποὺς ἀξίους τοῦ ἀναλώματος. Ἐπέτριψε δέ, οἷον ἐξέτριψε καὶ κατεδαπάνησε.

Δεινὴ φαγεῖν] Δεινὴ καταναλῶσαι, δαπανηρά**). ἅμα δ' ὅτι τὰ δύςπεπτα τῶν σιτίων νόσων πρόξενα γίνεται.

247. Ὀμοῦμαί σοι] Ἀντὶ τοῦ, ὃν σύνθωμαι μισθόν σοι τελεῖν, ὄμνυσι τοὺς θεοὺς τοῦτόν σοι δοῦναι. τοῦτο δὲ εἶπεν, ἵνα διαβάλλῃ αὐτόν.

248. Ποίους θεούς] Ταῦτα ἴσως αἰνίττεσθαι δύναται πρὸς τὴν διαβολὴν τοῦ Σωκράτους, ἥν τινες διέβαλλον αὐτόν, ὡς ἠσέβει λέγοντες περὶ τὸ θεῖον τῷ***) ὀμνύναι, νὴ τὸν

---

*) Legebatur, χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεῦγε, μή σ' ἀνιήσειε διδοὺς παρὰ καιρὸν ἀπαιτέων. Mutatio ordinis verborum Reizio debetur, qui Ernestii correctionem, μή σέ γ' ἀνιήσειε διδούς, probabat. Φεῦγε, quod deleri Ernestius volebat, fortasse scholiastae verbum est.

**) Emendatio Reizii. Legebatur, καταναλῶσαι. δεινή, δαπανηρά.

***) Abest τῷ.

ἀλεκτρυόνα, καὶ τὴν πλάτανον, καὶ ἄλλα τοιαῦτα· ὡς ἐν τοῖς Ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ, λέγων οὕτως· πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις ἔπεισαν Ἀθηναίους οἱ γράψαντες Σωκράτη, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. εἶθ' ὑποβὰς ὀλίγον, ἀδικεῖ γάρ, φησί, Σωκράτης τοὺς νέους διαφθείρων, καὶ ξένα δαιμόνια εἰςάγων. ἤτοι οὖν ὡς*) τέλεον ἀναιροῦντος αὐτοῦ θεούς, τὸν λόγον ἐκδεκτέον· ἢ ὡς πολυπραγμονοῦντος, ποῖον ὀμόσει γένος θεῶν. * * * γεγονέναι **) πρῶτον μέν, τοὺς κατὰ Ὀφίωνα καὶ Εὐρυνόμην· δεύτερον δέ, τοὺς κατὰ Κρόνον καὶ Ῥέαν· οὓς τινας Ὅμηρος (Iliad. V. 898.) Οὐρανίωνας καλεῖ***)· τρίτον δέ, τοὺς †) Διὶ τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς Ὀλυμπίους κλήζομεν. ꟹ Ἄλλως. Τοῦτό φησιν, ἐπεὶ ἐκεῖνος ὁ γέρων ἀσυναρτήτως εἶπεν, ὡς νομίσματα αὐτῷ καταθήσειν τοὺς θεούς, ἅμα ἐπιφέρει τὸ ποίους ὀμεῖ σὺ θεούς; οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ' ὅτι ὤμοσεν, ὡς νόμισμα καταθήσειν τοὺς θεούς.

250. Σιδαρέοισιν] Τοῦ νομίσματος σημαίνοντος δύο, τό τε νόμιμον ἔθος, καὶ τὸ τύμμα τοῦ τετυπωμένου χαλκοῦ, ἢ χρυσοῦ, ἐπὶ τοῦ χαλκοῦ ὁ Στρεψιάδης ἐδέξατο, καὶ οὐ πρὸς τὸ ὑπὸ Σωκράτους ῥηθὲν ἀπήντησεν, ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν, τίσιν ὄμνυτε θεοῖς, ἢ τίνι χρῆσθε νομίσματι. λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ καὶ Δωρικῶς εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δωρίζουσιν. Πλάτων Πεισάνδρῳ·

> χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις,
> ὅπου σιδαρέοις νομίζουσιν ††).

---

*) Legitur ὡς εἰς. Ὡς omisit Aldus.

**) Reizius supplebat: φασὶ γὰρ τριπλάσιον γένος θεῶν.

***) Abest καλεῖ.

†) Τοὺς Wolfius addidit: qui locum de iis intelligit, qui in gratiam Iovis imperium eorum, qui ante regnaverant, everterunt. Ernestius καταλύσαντες.

††) Sic edidi ex Reisigii emendatione in Coniect. p. 247. pro eo, quod legebatur, ὅπου σιδαρέοισι νομίσμασι χρῶνται. Petiit Reisigius eam emendationem ex grammatici libello de constructione verborum a me edito p. 384. et Georgio Lecapeno in Matthaei Lectt. Mosq. p. 71. qui sic scribunt: νομίζω καὶ τὸ νομίσμασι χρῶμαι, δοτικῇ, ὡς Ἀριστοφάνης· Βυζάντιοι σιδήρῳ νομίζουσιν. Addere

§ Ἄλλως. Ἐδόκει τὸ τῶν Βυζαντίων νόμισμα ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον, ἅτε σιδηροῦν ὑπάρχον· ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον.

251. Βούλει τὰ θεῖα πράγματ'] Οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους, τὰ θεῖα λέγει οὕτως· ἀλλ' οἷον τὰ ἀξιοθέατα, καὶ ὄντως μεγάλα καὶ τίμια.

254. Δαίμοσιν] Ὡς εἰ ἔλεγε, τοῖς καπνοῖς, ταῖς σκιαῖς, ταῖς ἡμετέραις θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια, καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὀνομάζομεν. Εὔπολις ἐν Αὐτολύκῳ·

καπνοὺς ἀποφαίνει καὶ σκιάς.

§ Ἁρμοζόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεάς, ἐπειδή, ὡς ἔφημεν, περὶ τὰ οὐράνια μᾶλλον ἐπτόηνται.

225. Σκίμποδα] Τὸν κράβατον σκίμποδα λέγει, Ἀττικῶς*). οἱ δέ φασι σκιμπόδιον. ἰδίως δὲ λέγουσιν τὸ χωλὸν κραβάτιον. σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς εἴρηται· παρὰ τὸ σκιμβοὺς ἔχειν τοὺς πόδας**).

256. Τουτονὶ τοίνυν λαβέ] Καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτη περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ, κἀκεῖνον λαβεῖν.

258. Ὥσπερ με τὸν Ἀθάμανθ'] Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρύξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπέπτη εἰς οὐρανόν, καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρύξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειεν παῖδας. ἀκου-

---

potuerat hoc Suidae: νομίζουσιν, ἀντὶ τοῦ νομίσμασι χρῶνται. Iungermanni ad Pollucem IX. 78. et Kusteri errorem Porsonus in Advers. p. 297. Fr. Aug. Wolfii ego in praefat. ad Dracon. Straton. p. 24. notavi. Quod olim posueram, ὅπου σιδαρέοισι τοῖς νομίσμασι χρῶνται, quae etiam Bentleii fuit Porsonique coniectura, id nescio an ne ferri quidem possit.

*) Scholion hoc hactenus et sic est in libro Ravennate. Editi λέγουσιν Ἀττικοί.

**) Σκιμβάζειν et σκιμβοὺς ex Ruhnkenii emendatione dedi pro σπιμπάζειν et σκαμβούς, petita ex Hesychio, apud quem legitur σκιμβός, χωλός.

σας οὖν Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ, λέγει Φρύξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήςποντος κέκληται. Φρύξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριόν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ· καὶ κατοικήσας αὐτόθι, τοὔνομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε· προςαχθεὶς οὖν στεφανηφορῶν, ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. § Ἄλλως. Ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥςπερ ἱερεῖον, δίκας εἰςπραττόμενος περὶ*) Φρύξου. § Ἄλλως. Τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτόν, παραγενόμενον Ἡρακλέα, καὶ τοῦ θανάτου ῥυόμενον, λέγοντα ὡς σώζοιτο ὁ Φρύξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται, ὥςπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια.

259. Τοὺς τελουμένους] Τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προςέχειν τὸν γέροντα, ὡς θειοτέρῳ τῷ πράγματι.

261. Λέγειν γενήσει τρῖμμα] Ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου (cap. 39. p. 269. Reisk.), ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. § Τρῖμμα δέ, τετριμμένος ἐν λόγοις. Κρόταλον δέ, εὔγλωττος, εὔστομος· ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. § Ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ. τρῖμμα οὖν εἶπε διὰ τὸ τρίβεσθαι τοὺς λίθους· κρόταλον δὲ διὰ τὸ κρούεσθαι αὐτόν· παιπάλη δὲ διὰ τὴν τραχύτητα· ἐπεὶ παίπαλα καλοῦ-

---

*) Ita recte Aldina. Vulgo παρά.

μεν τὰ δύςβατα. ϑ Ἄλλως. Ταῦτα λέγων ἅμα ὁ Σωκράτης ὡς*) εἰς τὰ θύματα παρατρίβων ὀρεινοὺς λίθους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύματα, βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες**). καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. Τρῖμμα μέν, τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς τρίμματα, καὶ περιτρίμματα***) καὶ πολυκρότους, καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γράφειν τινές·

ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

Κρόταλον] Κυρίως ὁ σχιζόμενος κάλαμος, ὁ κατασκευαζόμενος ἐπίτηδες, ὥςτε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσί, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἔσῃ, φησί, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλον.

Παιπάλη] Παίπαλα καλοῦμεν τὰ τῶν χωρίων δύςβατα. Schol. MS: Rav. Λεπτολόγος. Glossa.

262. Ἔχ' ἀτρέμας] Μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται. διὸ παρακελεύει αὐτὸν μένειν. Παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. ✠ Ἀτρέμας. ἡσύχως. Gl. Vict.

Οὐ ψεύσει γέ με] Τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης, ψεύδεται. πληρωθεὶς γάρ, φησί, τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. ϑ Ἄλλως. Τῇ χιόνι παττόμενος, ἐὰν ἔλθωσιν αἱ Νεφέλαι. λέγεται δὲ παιπάλη τὸ λεπτότατον τοῦ ἀλεύρου· ἀφ' οὗ παλύνειν, τὸ λευκαίνειν· ὡς τό (Iliad. X. 7.),

πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας†).

ἐπεὶ οὖν ἐκεῖνος εἶπε, γενήσῃ τρῖμμα, κρόταλον, παιπάλη· αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην. τουτέστι τὸ ἄλευρον, εἰπὼν καταπαττόμενος. ✠ Καταπαττόμενος ὑπὸ σοῦ ταῖς πληγαῖς διὰ τὰ μαθήματα, παιπάλη γενήσομαι. Glossa. ✠ Καταπαττόμενος. πληρωθεὶς τούτων. Παιπάλη γενήσομαι. ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἔλθω. Gl. Vict.

---

*) Ab Ernestio additum ὡς.

**) Aldina οἱ ταῖς οὐλαῖς θύοντες.

***) Legebatur πολυτρίμματα.

†) In Homero ὅτε πέρ τε χιών.

264. *Εὐφημεῖν χρή*] Ἡ συστηματικὴ αὕτη ἀμοιβαία τοῦ ὕμνου εἴςθεσις ἐστὶν ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ′, ὧν τελευταῖος,

ἐπακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον, ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. 𝔍 Ἄλλως. *Εὐφημεῖν χρή.* Ταῦτα πρὸς τὸν Στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, καὶ μηδὲν βλάςφημον εἰπεῖν. ✠ *Εὐφημεῖν.* βοᾶν μετ' εὐφημίας. Gl. Vict.

265. *Ἀμέτρητ' ἀήρ*] Ἀκατάληπτε καὶ ἀναρίθμητε. τὸν δὲ ἀέρα προςεύχεται, ἐπεὶ αἱ νεφέλαι τούτου μέρη. 𝔍 Τοῖς*) φιλοσόφων λόγοις ἀέρα βούλεται εἶναι τὸ πᾶν· οἳ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα ἐδογματίσαντο. ✠ *Ἀμέτρητ'.* ἄπειρε. Gl. Vict.

Ὃς ἔχεις] Ὃς παρείληφας τὴν γῆν καὶ βαστάζεις. δόξα γάρ τις ἐθρυλεῖτο τῶν φυσικῶν, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. ✠ *Μετέωρον.* κρεμαμείην. Gl. Vict.

266. *Λαμπρός τ' αἰθήρ*] Ἰδίως τὸ τοῦ ἡλίου φῶς αἰθὴρ καλεῖται, ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι πυροῦν. θερμὸς γὰρ ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθετικῷ ἐχρήσατο, Αἰθέρα λαμπρὸν εἰπών.

Σεμναί τε θεαί] Οὐχ οὕτω λέγει τὰς Νεφέλας σεμνάς, ὡς τὰς Ἐρινύας, ἃς ἐκτρεπόμενοι πάντως ἂν ὀνομαστὶ λέγειν, Εὐμενίδας αὐτὰς καὶ σεμνὰς θεὰς προςηγόρευσαν. τὸ γὰρ σιωπηλὸν σεμνὸν νενόμισται.

Βροντησικέραυνοι] Ἀλλήλαις γὰρ προςερχομένων**) τῶν νεφελῶν, πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. ἰδίως δὲ κἀνταῦθα τῷ συνθέτῳ τούτῳ κέχρηται ἐπὶ τῶν Νεφελῶν, ἅς φησι τὴν ἀστραπὴν καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν***). 𝔍 Δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ

---

*) Trendelenburgii haec correctio est. Legebatur *τούτου. Μερικοῖς.* Sed iam antea Toupius ad Longin. fragm. VII. p. 251. scribi volebat *τούτου μέρη. ἢ κατὰ τοὺς φιλοσόφων λόγους.*

**) Ita Kusterus. Legebatur, *ἀλλήλων γὰρ προερχομένων.*

***) Post *κέχρηται* sequebantur illa: *δοκοῦσι γάρ πως,* et post *ἐπιπέμπει* ea, quae hic collocavimus, sic scripta legebantur: *ἐκ τῶν Νεφελῶν φησὶ τὴν ἀστραπὴν καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν.*

προσημῆναι ἡμῖν τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ, ἢ ἀστράπτει, ἢ ὅτε σκηπτοὺς ἐπιπέμπει.

267. Ἄρθητε] Φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ, ἄρθητε εἰπών, οἱονεὶ ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ' ὀλίγον ἀπὸ τῆς γῆς ἢ τῆς θαλάσσης.

Τῷ φροντιστῇ] Δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ.

268. Μήπω γε, μήπω γε] Ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφανῶς. ἔστι δὲ παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται*). ✣ Πτύξωμαι. ἤγουν καλύψωμαι, συσπάσωμαι. τὸ πτύξασθαι ἐκ μεταφορᾶς εἴρηται τῶν ζωοφύτων, ἤτοι ὀστράκων, ἅπερ οἱονεὶ πτύχας, ἤτοι πύλας τὰ ὄστρακα ἔχοντα, καὶ ταῦτα συνάπτοντα, ἑαυτοῖς περιποιοῦσι τὸ ἀσφαλές. Schol. Vict.

269. Τὸ δὲ μὴ κυνῆν] Περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν.

Ἔχοντα] Οὐ μωρὸν δηλονότι, οὐκ ἀνόητον; ἐλλιπὲς γὰρ εἴρηται.

270. Ἐπ' Ὀλύμπου] Ἀντιπαρατάττεται Ὁμήρῳ λέγοντι (Odyss. VI. 42.),

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἔμμεναι.

Χιονοβλήτοισι] Τὰ γὰρ ὑψηλὰ**) τῶν ὀρῶν πληροῦσθαί τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι.

272. Εἴτ' Ὠκεανοῦ πατρός] Καὶ τοῦτο φυσικόν φησιν, ἀπὸ τοῦ Ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν, τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν.

---

*) Inepte loquitur. Wolfius, ut e duobus erroribus unus tolleretur, pro ἀρχὴ scribendum putabat ἑορτή. Vide ad v. 310.

**) Post versum Homeri statim legebatur sic: χιονόβλητα γὰρ τὰ ὑψηλά, et quae sequuntur.

Νύμφαις] Λείπει ἡ σύν. ϑ Ἤγουν, σὺν ταῖς Νύμφαις.

273. *Προχοαῖς*] Λείπει ἡ ἐπί. ἤγουν ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. *Πρόχοισιν* *) δέ, ἀγγείοις. ✤ Ὑδρείαις. Gl. Vict.

274. *Ἢ Μαιῶτιν λίμνην*] Περὶ ταύτης Ἡρόδοτος (IV. 100. 120. 123.) μαρτυρεῖ, λίμνην εἶναι Σκυθίας. ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ εἰς χρῆσιν. διὰ δὲ τὸ ἄδηλον, ἐκ διαφόρων τόπων καλεῖ αὐτὰς ἵνα πιστευθῇ **).

Νιφόεντα Μίμαντος] Τὸν ***) ἀεὶ νιφόμενον, χιονιζόμενον †). ὄρος Θρᾴκης ὁ Μίμας. καὶ Ὅμηρος (Od. III. 172.)·

παρ' ἠνεμόεντα Μίμαντα.

275. *Χαρεῖσαι*] Ἡδυνθεῖσαι. γράφεται δὲ φανεῖσαι. ✤ Παραγενόμεναι. Glossa quarti Reg.

276. *Ἀέναοι Νεφέλαι*] Ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ιϛ', ὧν τὰ πρῶτα δύο δακτυλικὰ πενθημιμερῆ, ἃ καλεῖται Ἀρχιλόχεια, ὡς Ἡφαιστίων φησί, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδῷ ††)· ὡς τό,

ἐν δὲ Βατουσιάδης.

ἔχει δὲ τὸ πενθημιμερές, ὡς εἴρηται, πόδας δύο καὶ συλλαβήν. τὸ γ' ἀναπαιστικὸν ἑφθημιμερές, ὃ καλεῖται, ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γ' καὶ συλλαβήν, ὡς εἴρηται. τὸ δ' δακτυλικὸν τετράμετρον ἀκατάληκτον· ὃ καλεῖται καὶ αὐτὸ Ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ἐπῳδοῖς ἐχρήσατο, ὡς Ἡφαιστίων φησί. τετράμετρον δὲ εἴρηται. διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ ε' ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζ' ὅμοιον τῷ τετάρτῳ. τὸ η', τὸ ϑ', καὶ τὸ ι', ὅμοια. τὸ ια' ὅμοιον τῷ πρώτῳ. τὸ ιβ' ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγ' δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδ' ὅμοιον τῷ δ'· τὸ ιε', ὅμοιον. τὸ ιϛ' †††)

τηλεσκόπῳ ὄμματι γαῖαν,

ἀναπαιστικὸν ἑφθημιμηρές· ὃ καλεῖται, ὡς εἴρηται, παροιμια-

---

*) Hic quoque πρόχουσιν legebatur.

**) V. ad v. 279.

***) Τὸν recte Aldus. Vulgo τό. Etiam Suidas Μίμας, inquit, ὄρος Θρᾴκης, qui est Ioniae mons.

†) Hanc vocem addunt glossae Victorianae.

††) Vide Bentleium ad Horat. Epist. I. 19, 29.

†††) Legebatur τὸ ιε' ὅμοιον τῷ ιϛ'.

κόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ πῳ, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν. 𝔍 Ἄλλως. Ἀέναοι Νεφέλαι. Μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν αὐτῷ· διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα, Νεφέλαι, ἅτε ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδής. Ἀέναοι δέ, διὰ παντὸς νάουσαι, ὡς ἀέναος ποταμός, ὁ ἀδιαλείπτως ῥέων. τοῦ δὲ χοροῦ. τὰς ἑκατέρωθεν λέγουσι παρόδους *), οὔσας ις´ κώλων. τῶν δὲ ὑποκριτῶν μέσων ὄντων, ἐκ στίχων ζ´ ἀναπαίστων τετραμέτρων καταληκτικῶν. 𝔍 Καλῶς δὲ εἶπεν Ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. Ἀρθῶμεν δέ, ἀναπηδήσωμεν. ✠ Ἀέναοι. ἀεὶ ῥέουσαι καὶ στάζουσαι. Gl. Vict. ✠ Μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται ἀλλήλαις ὥςτε πεισθείσας τῇ ἐπικλήσει Σωκράτους συναθροισθῆναι καὶ οὕτως αὐτῷ φανῆναι. Τινὲς οὖν εἰς τὸ δροσερὰν φύσιν εὐάγητον προςτιθέασι τὸ ἀφεῖσαι, ἵνα ἐντεῦθεν τὰς αἰτιατικὰς συντάξωσι. τοῦτο δὲ ἐν οὐδενὶ τῶν ἀρχαίων βιβλίων εὕρηται, ἀλλ' οὐδὲ τὸ μέτρον **) ἀπαιτεῖ. συντάσσεται δὲ οὕτω· ὦ Νεφέλαι ἀέναοι, αἱ ἔχουσαι φύσιν δροσερὰν εὐάγητον, ἤγουν εὐκίνητον. Schol. cod. Leid.

278. Φύσιν εὐάγητον] Πανταχῇ ***) φερομένην, ἢ λαμπράν †). ✠ Πάντη φερόμενον. Εὐκίνητον· τοιοῦτο γὰρ τὸ ὕδωρ. Glossae.

279. Ὠκεανοῦ βαρυαχέος] Ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις·

εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις.

ἀλλ' ὃ μὲν διὰ τὸ ἄδηλον, ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ, ἵν' οὕτως τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἳ δέ, ἅτε

---

*) Ita Spanhemius e schol. ad Vesp. 270. et Hephaest. p. 69. eiusque scholiasta. Legebatur περιόδους.

**) Legebatur μέτρον sine articulo.

***) Legebatur πανταχοῦ.

†) Dubitabat Ruhnkenius an hic scholiastes εὐαύγητον legisset, iussitque conferri Hemsterhusium ap. Musgrav. Exerc. in Eurip. p. 84.

τῆς ἑαυτῶν γενέσεως γινώσκουσαι τὸ ἀκριβές, εὐθὺς διώρισαν, καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. ϑ Ἄλλως. *Βαρυαχέος*, τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται.

281. *Ἵνα τηλεφανεῖς*] Ὅθεν, ἀφ' ὧν ἐστὶν ἰδεῖν τὰ πόῤῥω. τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰ καταφανῆ. τὸ δὲ *ἵνα*, ἀντὶ τοῦ ὅπου. ἢ τὸ *ἵνα ἀφορώμεθα* ἐστὶν ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιῤῥήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τόπου.

284. ✠ *Ζαθέων*] θαυμαστῶν, ἄγαν θείων. *Κελαδήματα*. κρ..ν..τὰς βοάς. Gl. Vict.

285. *Κελάδοντα*] ἠχῶντα. *Βαρύβρομον*. μεγαλόψοφον. Gl. Vict.

286. *Σελαγεῖται*] Ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον, ἐπεὶ καὶ *) οἱ *τραγικοὶ* εἰώθασι ὀφθαλμὸν ὀνομάζειν αὐτόν. ϑ Τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις, ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. ✠ *Ὄμμα αἰθέρος* τὸν ἥλιον ἔοικε λέγειν· ἐπεὶ καὶ οἱ *τραγικοὶ* εἰώθασιν οὕτως καλεῖν, ὀφθαλμὸν δηλαδή. ἔστι δὲ καὶ παρὰ τοῖς φιλοσόφοις τοιαύτη δόξα, ὥςτε ὀφθαλμὸν καὶ ἡγεμόνα τοῦ οὐρανοῦ καλεῖν. Schol. cod. Leid.

289. *Ἀθανάταις ἰδέαις*] Ἐπεὶ καὶ γυναικοειδεῖς εἰςιέναι μέλλουσι, τοῦτο λέγουσιν, ἐμπαρασκευαζόμεναι τὴν εἴςοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. ϑ Ἄλλως. *Ἀθανάτας ἰδέας* κεῖται. καί ἐστιν ἑνικὸν ἐν γενικῇ πτώσει. μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰςάγειν, ἐσθῆτι ποικίλῃ χρωμένας, ἵνα τὰ τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δ' *ἐπιδώμεθα*, ἀντὶ τοῦ ἐπισκέψωμεν. ἐπίδωμεν καὶ σκηψώμεθα. ϑ Ἐπιφανῶμεν, ἵνα γυναῖκας εἰςαγάγῃ τὰς τοῦ χοροῦ **).

290. ✠ *Τηλεσκόπῳ*] πόῤῥω ὁρῶντι. Gl. Vict.

291. *Ὦ μέγα*] Τὸ μερικὸν τοῦτο ἀμοιβαῖον σύστημα ἐκ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ. ὡς ἐῤῥέθη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὡς *Ἡφαιστίων* φησίν. ἐπὶ τῷ τέλει παράγραφος.

---

*) Pro *καί*, quod recte habet Aldina, vulgo *γάρ*, unde male post *ἥλιον* puncto, post *αὐτὸν* commate interpungebatur.

**) Legitur: *ἀντὶ τοῦ ἐπιφανῶμεν, ἐπισκέψωμεν, ἵνα γυναῖκας εἰςαγάγῃ τὰς τοῦ χοροῦ, ἐπίδωμεν καὶ σκεψώμεθα.*

292. Ἥσθου φωνῆς] Ἐν ταῖς κωμῳδίαις τινὲς μηχαναί*), τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ¶ Ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα.

293. Καὶ σέβομαί γ'] Ἀντὶ τοῦ προςκυνῶ, ἢ καταπέπληγμαι. δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον, καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν ἐκπεπληγμένον. σέβεται δὲ ὡς σεβασμίας ὑπὸ θεῶν καὶ τιμωμένας. καὶ προςκυνῶν δὲ δῆθεν ταῦτα λέγει.

Ἀνταποπαρδεῖν] Ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἔπαιξεν, ὁμοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον.

294. Πρὸς τὰς βροντάς] Μηχανή ἐστιν, ὃ καλεῖται βροντεῖον, ὑπὸ τὴν σκηνήν· ὃ ἦν ἀμφορεύς, ἔχων ψηφῖδας θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήρχοντο **), καὶ κυλιόμενοι ἦχον ἀπετέλουν.

Τετρεμαίνω] Τρέμω, παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος.

295. Κεὶ θέμις ἐστί] Καὶ εἰ εὐσεβές ἐστι, καὶ ὅσιον, καὶ εἰ μὴ εὐσεβές. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος, καὶ μὴ δυνάμενος ἑαυτὸν ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος, ὅτι μὴ δέοντα ποιεῖ, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενον ***) εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν.

296. Οὐ μὴ σκώψῃς] Τοῦτο ὁμοῦ μὲν ὁ Σωκράτης, καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα, πιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἡγούμενος ἀθλίους, ὁμοῦ δὲ καὶ Ἀριστοφάνης, αὐτοῦ †) μὲν οὔ, τῶν δὲ ἄλλων κωμῳδιογράφων ἀτεχνούντων, ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων.

Οἱ τρυγοδαίμονες] Οἱ ποιηταί· ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροι-

---

*) Μηχαναὶ additum a Nagelio e scholio ad v. 294.

**) Suidas habet κατήγοντο. Neutrum verbum in hac re placet. Ruhnken.

***) Ernestii correctio. Legebatur ἐξαγόμενος.

†) Sic Ernestius. Legitur αὐτός.

μία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. ¶ Τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί. ¶ Ἄλλως. Οἱ κωμικοί, παρὰ τὸ κακοδαίμονες· ἐπεὶ πολλῇ *) τῇ αἰσχροποιΐᾳ ἐχρῶντο. Κακοδαίμονες δέ, παρ' ὅσον ἀφέμενοι τῶν θείων, περὶ τὸ σκώπτειν τρέπονται. ✠ Οἱ ἄλλοι κωμικοί. οὗτοι γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰςῆγον χέζοντάς τε καὶ ἕτερα αἰσχρὰ ποιοῦντας. λέγει δὲ δι' Εὔπολιν καὶ Κρατῖνον καὶ τοὺς ἄλλους. τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο. Scholion in marg. quarti Reg.

297. Σμῆνος ἀοιδαῖς] Κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν, ὅπερ ἐστὶν ἑσμός **). Ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας. ἐπαινῶν τὸν Νέστορα (Iliad. I. 249.)·

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

¶ Τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν ***).

298. Παρθένοι ὀμβροφόροι] Ἡ ἀντῳδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ δεκαέξ· ὧν ὁ τελευταῖος,

καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν καταρχὰς τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι, ὅτι τέλος ἔσχε τὰ ἀποδιδόμενα †). τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν παριστάντες. ἄμεινον δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. ¶ Ἄλλως. Τοῦτο οὐχ ὑφ' ἓν ἀναγνωστέον, οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὀμβροφόροι νῦν ἐκληπτέον· ἀλλ' ὡς αὐτὸ καθ' αὑτὸ τὸ ††) πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν εἰς τὸ παρθένοι, συζευγνύναι δὲ τὸ ὀμβροφόροι τῷ ἐπιφερομένῳ· ἵν' ᾖ νοούμενον· ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ ἐν ἀμφοτέροις ἡ ἔννοια σώζεσθαι δύναται, ἀλλ' εὐφημότερόν ἐστιν, ὥςπερ προειρήκαμεν. ¶ Αἱ Νεφέλαι παρακελευόμεναί φασιν, ὅλαι ὀμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθη-

---

*) Legebatur πολλοί.

**) Verba ὅπερ ἐστὶν ἑσμὸς legebantur post versum Homeri. Paullo aliter haec Suidas habet in σμῆνος.

***) Haec corrupta sunt, neque habet Suidas. Videtur sic ferme scripsisse: τουτέστι, σμῆνος ἔρχεται τῶν Νεφελῶν ᾀδουσῶν.

†) Sic Aldina. Vulgo ἀποδεδομένα.

††) Aberat τό.

ναίων ἐπισπεύσωμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς χρὴ τὰς Νεφέλας τολοιπὸν εὐδίους εἶναι· δι' ὧν ἔφη, ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον. ἐκεῖνο δὲ πρὸς τοῦτο ἀντιθετέον, ὅτι τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητής, παλίμβολόν τινα καὶ παλίνστροφον ἐποίησε τὴν γνώμην αὐτῶν, ἐπεὶ καὶ ἐκ τοῦ χειμῶνος εἰς εὐδίαν χωρεῖν, καὶ πάλιν ἐξ εὐδίας χειμάζειν πεφύκασι.

299. *Λιπαρὰν χθόνα*] Λιπαρὰς Ἀθήνας οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν καὶ διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν· ἔπειτα δέ τοι καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν. παρ' οἷς ἔτι καὶ νῦν τὸ λιπαρὸν τῆς ἐλαίας φυτὸν δείκνυται. § Ἄλλως. *Λιπαράν*, εὐθαλῆ, τὴν πᾶσι κομῶσαν. Πίνδαρος (Fragm. p. 51. ed. Schneid. p. 74. ed. Heyn. p. 579. ed. Boeckh.)·

λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα,
κλειναὶ Ἀθᾶναι.

εὔανδρον δέ, τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην. *Πολυήρατον δέ*, πᾶσιν ἐράσμιον. ✿ *Λιπαράν*. εὔγαιον. Gl. Vict.

300. ✿ *Πολυήρατον*] τὴν πάνυ ἐπέραστον. Gl. Vict.

302. *Οὗ σέβας*] Ὅπου σεβάσμιά *) ἐστι καὶ ἄῤῥητα μυστήρια. ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος τοῦ κατὰ **) Μεγαρέων. § Ἄλλως. Εἰκότως πρὸ πάντων σεμνολογοῦσι τὰ Ἐλευσίνια. κοινωνίαν γὰρ ἔχουσι πρὸς τὰς θεάς, ὅσον ἐκ τῆς τοῦ ἔτους φορᾶς, καὶ τῆς τῶν καρπῶν αὐξήσεως. αὗται δὲ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς Νεφέλαις μυστικαῖς, ὡς Ἡρόδοτος (VIII. 65.). φησὶ γὰρ ἐν τῇ παρὰ Σαλαμῖνι ναυμαχίᾳ, πολὺ λειπομένου τοῦ Ἑλληνικοῦ πλήθους τῶν νεῶν τῶν Περσικῶν, συμμαχῆσαι Ἀθηναίοις τὰς θεάς, μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ὅσον κονιορτόν, αἰρόμενον ἀπὸ Ἐλευσῖνος ἐπὶ τὴν συμβολήν, παντὶ τῷ στρατῷ δῆλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιόντα καὶ νέφος γινόμενον,

*) Ita Ernestius p. 21. Legitur σέβασμα.

**) Legebatur ἐκ τοῦ ψηφίσματος Μεγαρέων. Praepositionem addidit Ernestius p. 22. (addere debebat etiam articulum) qui Valesium laudat ad Harpocrat. v. Ἀνθεμόκριτος.

διὰ μέσου τοῦ στρατοπέδου χωροῦντα, τὸν Ἴακχον βοᾶν. μυστικὸς δὲ ὁ λόγος ὁ περὶ τὰ ἀπόῤῥητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο.

303. *Μυστοδόκος δόμος*] *Τὴν Ἐλευσῖνα λέγει, ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια.* § *Μυστικός, καὶ ἱερός, τοὺς μύστας ἐπιδεχόμενος* *). ❖ *Τὴν Ἐλευσῖνα λέγει μυστικὴν καὶ ἱερὰν οἰκίαν καὶ τοὺς μύστας δεχομένην. ἐν αὐτῇ γὰρ τὰ μυστήρια τῆς Δήμητρος καὶ τῆς Κόρης ἐτελοῦντο.* Schol. cod. Leid.

304. *Ἐν τελεταῖς ἁγίαις*] *Ἐν τελεσιουργίαις ὁσιωτάταις· τουτέστι, μυστηρίοις. εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων, ἐπεὶ ἔχουσί τινα πρός τε θεὰς αὐτάς, καὶ τοὺς διὰ ταύτας καρποὺς τελειωμένους* **) *οἰκειότητα. εἰ γὰρ τῶν Νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος;*

305. *Οὐρανίοις τε θεοῖς*] *Πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ καὶ Κόρη, τὸ οὐρανίοις τε θεοῖς ἐπήγαγεν, ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἀποδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνὶ κεῖνται θεῷ· αἱ δὲ Ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοὺς τιμῶσι.* ❖ *Δωρήματα.*] *ἡ γὰρ Δημήτηρ αὐτοῖς τὸν σῖτον ἔδωκε, καὶ Ἀθηνᾶ τὴν ἐλαίαν, καὶ Ποσειδῶν πρώτους εἶναι τὰ ναυτικά, καὶ ἄλλοι ἄλλα πάντα. ἢ τὰ δωρήματα θεοῖς ἀντὶ τοῦ θυσίαι νοητέον.* Schol. Vict.

306. *Ὑψερεφεῖς*] *Ὑψηλοί.* Glossa. *Ὑψηλὴν ὀροφὴν ἔχοντες.* Gl. Vict.

307. *Καὶ πρόςοδοι*] *Θρησκεῖαι περὶ τοὺς βωμοὺς πρόςοδοι τοῖς θεοῖς, καὶ προςελεύσεις.* ❖ *Πανηγύρεις.* Gl. Vict.

308. *Εὐστέφανοί τε*] *Παρὰ τὸ Ὁμηρικόν·*

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.

αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι, κοσμεῖν μὲν καὶ στεφανοῦν ναούς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. † *Ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν.* †

† *Θαλίαι*] *Εὐδαιμονίαι, εὐθηνίαι, ἀκμαί, εὐφροσύναι, πανηγύρεις.* †

---

*) *Μυστικός*, et quae sequuntur, post *λέγει* collocata erant.
**) Aldus *τελειουμένους*.

309. *Παντοδαπαῖς ἐν ὥραις*] Διηνεκῶς, παντὶ καιρῷ. διὰ τὸ θρησκεύειν πάντας θεούς, καὶ πανηγυρίζειν ἀεί, θύουσι διαπαντὸς καὶ διηνεκῶς.

310. *Ἠρί τ' ἐπερχομένῳ*] Τὴν παροῦσαν ἑορτὴν λέγει· τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. *Βρομία δὲ χάρις*, οἱ Διονυσιακοὶ *) ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν. ✣ Ἔαρι. τότε γὰρ ἐτελοῦντο τὰ Διονύσια. Glossa.

311. *Εὐκελάδων τε χορῶν*] Προσηύλουν γὰρ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς, ἐπηύλουν δὲ προηγουμένως τοῖς κυκλίοις χοροῖς. *εὐκελάδων* δέ, τῶν εὐμούσων καὶ ἡδέων χορῶν. *Ἐρεθίσματα* δέ, ἤγουν ἅμιλλαι, ἢ ὄργανα μουσικά. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλίους **) χοροὺς ἵστασαν, καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταί, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. ✣ *Ἐρεθίσματα.* ἅμιλλαι. Gl. Vict.

313. *Πρὸς τοῦ Διός*] Εἴσθεσις ***) διπλῆς ἀμοιβαίας καθόλου ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ρκέ. ὧν τελευταῖος,

> *διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς μ' ἐπέτριψεν.*

καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον, ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῇ ἔξω νενευκυῖα.

314. *Τοῦτο τὸ σεμνόν*] Λεληθότως, φασίν, ἑαυτὸν ἐπαινεῖ, σεμνὸν εἶναι λέγων τὸ μέλος. ἔστι γὰρ τοῦτο ἀληθές. ὃ δὲ τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων, οὐκ οἴεται φορτικὸς εἶναι.

Μῶν ἡρῷναι] Ἀττικὴ ἡ συνίζησις †), τὸ ἡρῷναι· ὡς ἠΐθεοι, ἤθεοι. Ϛ' Κατὰ δὲ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτῷ, ἐνθάδε τρισυλλάβως προήνεγκε τὸ *ἡρῷναι.*

315. *Ἀνδράσιν ἀργοῖς*] Διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοι, φησί, τοῖς ἀνθρώπων ἀπράκτοις. οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς Νεφέλας. ✣ Τοῖς φιλοσόφοις καὶ ποιηταῖς,

---

*) Verba ἄρχεται usque ad Διονυσιακοὶ omiserat Kusterus.

**) Legebatur κυκλικούς. Mutatum e Bentleii sententia. V. Wüllneri dissertationem de cyclo epico p. 28.

***) Legebatur ἔκθεσις.

†) Legebatur σύνταξις.

οἳ μηδὲν ἄλλο μεταχειρίζονται, ἢ περὶ λόγων σχολάζουσιν. Glossa quarti Reg.

316. Αἵπερ γνώμην] Σύνεσιν καὶ φρόνησιν, ὡς τὰ δέοντα νοεῖν· καὶ διάλεξιν, λόγων ἐμπειρίαν· ὥςτε τὰ νοηθέντα φράζειν δύνασθαι. ✿ Ἐνθυμήματα. εὐπορίαν εἰς τὸ διαλέγεσθαι. Glossa quarti Reg.

Νοῦν] Σύνεσιν.

317. Τερατείαν] Ψευδολογίαν. ✿ Παραδοξολογίαν, ἀλαζονείαν. Glossae.

Περίλεξιν] Περιττολογίαν, περίφρασιν. ✿ Εὐπορίαν καὶ περιττότητα λόγων. Glossa quarti Reg.

Κροῦσιν] Ἀπάτην, δοκιμασίαν, παραλογισμόν. ✿ Ποικιλίαν καὶ στροφὰς λόγων, δι' ὧν τοὺς διαλεγομένους σοφιζόμεθα καὶ ἀπατῶμεν.. Glossa quarti Reg.

Κατάληψιν] Εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. Διάλεξιν τοίνυν, λόγων ἐμπειρίαν, ὡς ἔφαμεν, ὥςτε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δέ, τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπή, καὶ ἐπὶ τὸ ἀγροικότερον. Τερατείαν δέ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι, καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. Περίλεξιν δέ, περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων, καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. Κροῦσιν *), ἢ τὸν παραλογισμόν, καὶ τὴν ἀπάτην· τὸ συναρπάσαι τὸν ἀκούοντα· ἢ δοκιμασίαν· ἐπεὶ τὰ σαθρὰ κροτούμενα **) δοκιμάζεται. Κατάληψιν, τὴν γνῶσιν, καὶ αἴσθησιν, καὶ τὴν τέχνην. οὕτω γὰρ ὁρίζόμεθα τὴν τέχνην, οἷον σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδάς, καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον. § Δείκνυσι δὲ ἐξ ὅσων συνέστηκεν ἡ ***)

---

*) Additum hoc vocabulum ab Ernestio p. 22.

**) Non opus Kusteri κρονόμενα. Quamquam διακρούειν in eadem re dicit scholiastes ad Ranas v. 78.

***) Aberat articulus, totumque scholion supra legebatur post verba τῆς ἐξηγήσεως τοῦ λόγου.

ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν, ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου.

318. *Πεπότηται*] Ἀνέπτη καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ ἤδη. ✠ Μετέωρος γέγονε. Glossa quarti Reg. et Vict.

319. *Λεπτολογεῖν καὶ περὶ καπνοῦ στενολεσχεῖν*] Ἀντὶ τοῦ, περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ δὲ τὸ στενὸν τὸ *στενολεσχεῖν* εἴληπται, τὸ μεταρσιολεσχεῖν, καὶ τὸ μηδὲν λέγειν *). καὶ τοῦτο δὲ τὸ *λεπτολογεῖν* διασυρμοῦ λέγει χάριν ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα **). § Ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι, ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν, μὴ ἔχοντας ὅ τι ἀπολογήσονται. ✠ Περὶ τοῦ τυχόντος λεπτῶς φιλοσοφεῖν, μικρολογεῖν. Glossa.

322. *Βλέπε νῦν*] Καθ' ὑπερβατόν· βλέπε νῦν ***) δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως· ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. Πάρνης δὲ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται· ὡς τό,

> *ἐς κόρακας ἥξω, φέρων τε δεῦρο τὸν Πάρνηθ' ὅλον* †)·

καὶ θηλυκῶς, ὡς ἐνταῦθα. εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται.

323. *Ἥσυχα*] Ἡσύχως. Glossa cod. Brunck.

Χωροῦσ' αὗται] Τὸ *χωροῦσι* καθ' αὑτὸ ἀναγνωστέον, εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος, προστίθησι πλέον ἐκτείνων τὴν προφορὰν τοῦ λόγου, τὸ *αὗται πάνυ πολλαί*. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον. § Τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τῷ τῶν ὑπο-

---

*) Haec ita legebantur: παρὰ τὸ μεταρσιολεσχεῖν δὲ τὸ στενολεσχεῖν εἴληπται, καὶ τὸ μηδέν. Emendavimus e Suida in στενολεσχεῖν, ubi sic scriptum: παρὰ δὲ τὸ στενὸν εἴληπται τὸ στενολεσχεῖν.

**) Vide Suidam in λεπτολογεῖν.

***) Sic Aldina. Vulgo βλέπε νυν.

†) Affert hunc versum etiam Steph. Byz. in v. Πάρνης, sic: Ἐμφανὴς ἐν Πυραυνῷ, ἐς κόρακας ἥξω, φέρων δεῦρο τὸν Πάρνηθα ὅλον. Sed cod. Vratisl. et, ut videtur, etiam alii codd., φέρων τε δεῦρο τὸν Πάρνηθος ὅλον. Naekius in Choerilo p. 53. coniiciebat Ἐκφαντίδης, Meinekius in Curis crit. p. 45. Εὐφάνης.

κρινομένων σχήματι δείκνυσιν. δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται.

326. *Εἰ μὴ λημᾷς*] Τῶν Νεφελῶν πλησίον οὐσῶν, ἐκεῖνος μηδ' οὕτως ὁρῶν, τοῦτο νῦν προςέθηκεν, ἵν' ᾖ τὸ νοούμενον οὕτως· νῦν αὐτὰς ὁρᾷς, εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας, ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε, δεικνύων τὴν ὑπερβολὴν τῆς λημότητος. 𝔍 Λείπει δὲ ἡ ἐν, ἵν' ᾖ, ἐν κολοκύνταις· ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. ἀποδοκιμαστέοι δὲ οἱ νοοῦντες ἔξωθεν, ὁμοίας· οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ *Λουκιανὸς* ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον), c. 28. vol. III. p. 119.) οὐκ ὤκνησεν εἰπεῖν, *χύτραις λημῶντες*.

327. *Νὴ Δί' ἔγωγε*] Ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γάρ, πλησίον οὐσῶν.

330. *Ἴσθ' ὅτι*] Γίνωσκε. Glossa quarti Reg.

Σοφιστάς] Ἐν ἄλλοις, τοὺς πεπαιδευμένους· νῦν δὲ τοὺς μετεωρολέσχας λέγει, καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους. καὶ θαυμαστὸν οὐδέν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω προςαγορεύειν*) ὤκνησαν**). *Πλάτων γὰρ οὖν****) ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. Καταχρηστικῶς †) δὲ νῦν ἐπὶ πάσης ἐπιστήμης παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. † Σοφισταί, οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες· καὶ οἱ διδάσκαλοι, καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει· ὡς τοὺς ἄλλους σοφίζοντας. †

331. *Θουριομάντεις*] Ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστάς, ἐπήγαγέ τινας ††). *Θουριομάντεις* δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες· ὧν καὶ

---

*) Legebatur, οὕτως ἀγορεύειν. Vide Suidam in σοφιστής.

**) Suidas ὤκνησεν.

***) Scripserat, credo, Πλάτων γοῦν.

†) Legebatur καταχωρῶν δὲ νῦν πάσης ἐπιστήμης, quod frustra tentatum ab Ernestio p. 22. e Suida emendavimus.

††) Legebatur τίνας καὶ τίνας. Mutatum e Suida in Θουριομάντεις.

Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰςάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάρεως, Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας· ὕστερον δέ, Κωπίαι *). λέγεται καὶ Θουρία καὶ Θούριον· ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι (Steph. Byzant. in Θούριοι. Brunck. Anal. vol. III. p. 263. epigr. 533.)·

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν.
Δωριέων πάτρης βλαστόντ' ἄπο, τῶν ἄρ' ἄπλητον
μῶμον ὑπεκπροφυγών, Θούριον ἔσχε πάτρην **).

τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι καὶ Θουριακοί. καὶ Θουρῖνος οἶνος, ὡς Στράβων (VI. p. 404). Παυσανίας δὲ Ἄνθειαν αὐτὴν καλεῖ ***). ¶ Ἄλλως. Πολλῶν γενομένων μάντεων †) ἐπὶ τῆς εἰς Θουρίαν ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ἐκ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας.

Ἰατροτέχνας] Καὶ ἰατροὶ περὶ ἀέρων ††) καὶ ὕδατος συνέγραψαν. ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων, καὶ ὑδάτων.

Σφραγιδονυχαργοκομήτας] Τοὺς κόμῃ καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους †††). ¶ Τῶν

---

*) Legebatur Ἀγλίαι. Κωπίαι est e Stephano Byzant. in Θούριοι.

**) Legebatur v. 2. ἱστορικῆς, quod iam correxerat Camerarius, et v. 4. τῷ γὰρ ἄπλητον, emendatum a Brunckio. Berkelius legebat τὸν γὰρ ἄπλητον. Atque ita affert Taylorus in vita Lysiae p. 34. Sed Ruhnkenius ad Hom. hymn. Cer. 83. quod MSS. Stephani Byz. ἄπλητος habeant, sic scribit: τῶν δ' ἄρ' ἄδηκτος μῶμον ὑπεκπροφυγών. At si ἄδηκτος fuisset, mansisset in patria, non eam reliquisset.

***) Pausanias IV. 31. de Thuria Messeniae loquitur, quam male huc traxit scholiastes. Vide Berkel. ad Steph. l. l. et Wesseling. ad Antonin. Itiner. p. 118.

†) Ita Ernestius p. 22. Legebatur μαντειῶν.

††) Suidas in ἰατρός addit ὀρνέων.

†††) Τοὺς δακτύλους additum e Suida in σφραγίς.

ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι ξύοντας αὐτοὺς ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον *).

332. *Κυκλίων τε*] Αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένη, καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται, διθυραμβοποιοὺς χρηματίσαντας. τῶν γὰρ κυκλίων χορῶν εἰσὶν οὗτοι διδάσκαλοι. *Ἀισματοκάμπτας* δὲ, ὅτι διὰ τὸ ἁρμονίᾳ μὴ **) ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς μουσικοὶ καλοῦσι στροφὰς καὶ ἀντιστρόφους ***) καὶ ἐπῳδούς. διὸ καὶ ἐν τραγῳδίαις τὰ χορικά. ⁊ Ἄλλως. Οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάπτεται λέγων·

> *εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα καμπήν,*
> *οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυςκολοκάμπτους,*
> *ἐπετρίβετο τυπτόμενος πολλάς, ὡς τὰς Μούσας ἀφανίζων.*

Καλλίμαχος δὲ πρὸς αὐτοὺς ἀποτεινόμενος, οὕτω πως †) αὐτῶν καθάπτεται (fragm. CCLXXIX.)·

> *νόθοι δ' ἤνθησαν ἀοιδαί.*

Ἀισματοκάμπτας] Τοὺς διθυραμβοποιούς ††), ἐπεὶ καμπὰς τὰς περιῳδὰς λέγουσι. Schol. cod. Rav. † Οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μετακλίσεις καὶ τὰς καμπὰς ἐποιοῦντο, νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς *ᾀσματοκάμπτας*. †

---

*) Tibicines intelligit Lessingius in epistolis antiquariis, ep. 23. v. Plin. XXXVII. 3.

**) Legebatur ἐν ἁρμονίᾳ ὑποπίπτειν. Mutatum e Suida in κυκλίων.

***) Verba καὶ ἀντιστρόφους addita ex Aldina et Iuntina, et Suida in κυκλίων.

†) Legebatur οὕτως περί. Mutatum e Suida in κυκλίων. Nagelius οὕτω περ. Valckenarius ad Callim. Fr. p. 297. tacitus οὕτως sine περὶ posuit.

††) Legitur διθυράμβους.

Μετεωροφένακας] Τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φενακίζειν γάρ ἐστι τὸ ἀπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει.

333. † *Μουσοποιοῦσι*] Ποιητικῇ ὑμνοῦσι. †

334. *Ταῦτ' ἄρ' ἐποίουν*] Λείπει ἡ διά. μιμεῖται δὲ τοὺς διθυράμβους. τὸ δὲ *στρεπταίγλαν*, εἰς τὸ διεστραμμένον αὐτῶν. ϑ Τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκοτίζουσαν. νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, οὐκέτι τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι. ταῦτα δὲ εἰς *Φιλόξενον* τὸν διθυραμβοποιόν. τὸ γὰρ *στρεπταίγλαν* οὗτος *) εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν τῶν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. χρῆται δ' οὖν ἄντικρυς τῷ ἐξεστραμμένῳ**). ϑ Ἔστι δὲ ἡ γενικὴ τὸ *ὑγρᾶν Νεφελᾶν*, καὶ *στρεπταιγλᾶν*, εἴπερ οὕτω γράφεται οὐ πρός τι συντασσόμενον. ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις. διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἳ δέ, πρὸς τὸ *δάϊον ὁρμάν*· τουτέστι ταχυτάτην· ἑνὸς τὸ πᾶν εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ *δροσερᾶν Νεφελᾶν*. εἰ***) δὲ *στρεπταιγλᾶν*, πρὸς τὸ ὑγρᾶν Νεφελᾶν. ✠ *Στρεπταίγλαν*. ταχυτάτην. Gloss. Vict.

335. *Πρημαινούσας τε θυέλλας*] Τουτέστι συστροφὰς ἀνέμου. *Πρημαινούσας* δέ, ἀντὶ τοῦ μαινομένας, καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι.

336. *Γαμψοὺς οἰωνούς*] Ἤτοι τὰς καμπτούσας καὶ πλαγίους νεφέλας. ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν καὶ αὐτὸς τῷ *γαμψούς*, *οἰωνοὺς* ἐπήγαγεν. *Ὅμηρος*·

οἰωνοῖσί τε πᾶσι.

Ἀερονηχεῖς] Τὰς ἐν τῷ ἀέρι νηχομένας. παρόσον ἐν αὐταῖς νήχεται τὰ ὄρνεα, ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσίν, ἄλλο ἄλλου γράψαντος, καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο.

337. *Εἶτ' ἀντ' αὐτῶν*] Τουτέστιν, ἀντὶ τούτων, ὧν

---

*) Legebatur αὐτός. Vide Suidam in στρεπταίγλαν.

**) Postrema Suidas in στρεπταίγλαν sic habet: δηλοῖ οὖν ἄντικρυς διὰ τὸ ἐξεστραμμένον τὴν ἀηδίαν τούτων τῶν ἐν τοῖς συνθέτοις.

***) Ex Ald. et Iunt. εἰ scripsi pro οἱ.

ἐποίουν εἰς τὰς νεφέλας. διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια κρέα.

338. *Κεστρᾶν τεμάχη*] Ἰστέον, ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν· οἱ δέ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

Τεμάχη μεγαλᾶν ἀγαθᾶν] Τουτέστι, τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος, καὶ ἐπὶ πλακοῦντος· ἐπὶ δὲ κρεῶν οὐκέτι. ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους, καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας.

Κρέα τ' ὀρνίθεια]· Καταχρηστικῶς ἐπὶ ὀρνέων κρέα εἶπεν. τούτων δὲ μέμνηται τῶν ᾠκειωμένων *) νεφέλαις ὑδάτων καὶ ὀρνέων. ταῦτα δέ φησιν, ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. βέλτιον μέντοι ὑφ' ἓν ἀναγινώσκειν, κρέατ' **) ὀρνίθεια, ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν ταῖς Νεφέλαις προςῳκειωμένων, τῶν τε ἐνύγρων καὶ τῶν πτηνῶν.

339. *Διὰ μέντοι τάςδ' οὐχὶ δικαίως*] Οὐ δικαίως, φησίν, ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.

340. *Εἴξασι*] Ὡμοιώθησαν. Glossa.

341. † *Φέρε ποῖαι γάρ τινες*] Δείκνυσιν ἐνταῦθα ὁ Σωκράτης, ὡς ἐν ὅσῳ τις βλέπει τὰς Νεφέλας, τοῦτο τὸ σχῆμα ἐχούσας, μεταστραφεὶς ἀλλοίας ὁρᾷ. †

343. *Αὗται δὲ ῥῖνας ἔχουσιν*] Εἰςεληλύθασιν οἱ χορευταὶ προςωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας, γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκὸς αὐτὰς μὴ ἑωρακέναι, διὰ τὸ μὴ νεφελῶν, ἀλλὰ γυναικῶν ὄψεις ἔχειν· ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχε. δῆλον οὖν ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικά, οὐκ ἐπὶ τῆς σκηνῆς ὄντως λέλεκται. τοῦ χοροῦ δὲ ἔξω ἑστῶτος καὶ κρυπτομένου, ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ καταπτᾶσαι μηδέπω. προειρήκαμεν δὲ τῶν Νεφελῶν εἶναι.

---

*) Sic Aldus. Vulgo, ut mox, προςῳκειωμένων.

**) Legebatur κρέα τ' ὀρνίθεια. Aldus haec tria vocabula in unum coniunxit.

344. *Ἀπόκριναι.*] ἐμοὶ δή. Glossa Vict.

345. *Κενταύρῳ ὁμοίαν*] Τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρομοιούμενα ζῴοις ἢ φυτοῖς, ἢ ἀνθρωποειδῆ γιγνόμενα, ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν, οὐ χρή σε θαυμάζειν, εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς· καὶ γὰρ*) ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰκόνας. τούτων δὲ ἐμνημόνευσεν ἐκείνων εἵνεκα μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται.

347. *Κομήτην*] Κλεῖτον λέγει, ὃς ἦν ἐπὶ κόμῃ σκοπτόμενος.

348. *Ἄγριον*] Ἀγρίους δὲ καὶ κολλοποδιώκτας**) ἐκάλουν τοὺς τὰς ἀπηγορευμένας πράξεις ποιοῦντας, τοὺς παιδεραστάς. Ἱερώνυμον δὲ λέγει τὸν διθυραμβοποιόν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐπτόητο. λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος***), ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινὰ θεωμένας, ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδίᾳ τὰς Νεφέλας παρήγαγεν. ✠ Ἀγρίους τοὺς παιδεραστὰς ἐκάλουν. Schol. MS. Rav. Τὸν Ξενοφάντου υἱὸν Ἱερώνυμον λέγει. Glossa Vict. Ἱερομνήμων ἦν υἱὸς τοῦ Ξενοφάντου, διθυραμβοποιὸς ποιητής· ἦσαν δέ τινες ἄγαν ἐπτοημένοι πρὸς αὐτὸν αἰσχρῷ ἔρωτι. Schol. cod. Leid.

350 *Σίμωνα*] Οὗτος κεκωμῴδηται παρὰ *Ἀριστοφάνει* ὡς χρεωφειλέτης. τίνι, φησίν, αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειαν, ἐὰν ἀφομοιώσασθαι θελήσωσιν ἑαυτὰς Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά. σοφιστὴς δὲ ὁ Σίμων ἦν, καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε· καὶ πάντως τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ *Εὔπολις* ἐν Πόλεσι, διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν οὕτως†)·

---

*) Γὰρ additum ex Aldina.

**) Legebatur καλοποδιώκτας, hic, et apud Suidam in ἀγρίους. Emendavit etiam Porsonus.

***) Lacunam hic putat Ernestius p. 23. esse, ita ferme supplendam, οὕτως δὲ ἐρωμανεῖς ἦσαν. Non opus videtur.

†) Verba σοφιστὴς ὁ Σίμων ἦν usque ad ἐγκλήμασιν etiam in cod. Rav. atque ita, ut edidimus, leguntur. In vulgato scholiasta,

ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο. κωμῳδεῖται δὲ νῦν, ἵν' ἢ παύσηται ἁρπάζων, ἢ ἀκούσαντες οἱ Ἀθηναῖοι εἰς εὐθύνας ἀγάγωσιν ὧν κατεδήδοκε.

352. Κλεωνύμου] Τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς παρατάξεως ῥίψαντα τὴν ἀσπίδα οὔτε ἄλλοι κωμῳδοὶ διαβάλλουσι πάντες, καὶ ἐν τοῖς Σφηξὶν αὐτός *). ϑ Ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται. τὸ δὲ ἐχθὲς προςέθηκεν ὡς ὑπόγυιον τοῦ Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος. πλείονα γὰρ τὴν συμφορὰν τὰ παίσματα ἔχει τὰ ὑπόγυια.

353. Δειλότατον] Δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος. καὶ Ὅμηρος (Iliad. I. 225.) κραδίην δ' ἐλάφοιο. Schol. cod. Rav.

354. Καὶ νῦν ὅτι Κλεισθένη] Καὶ νῦν, φησί, διὰ τὸν Κλεισθένη ἐγένοντο γυναῖκες. οὗτος δὲ ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ, λέγων οὕτως ἐν ἐπεισοδίῳ·

λη ρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τοῦ κάλλους ἀκμῇ.

τοῦτον ἰδοῦσαι**), φησίν, αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς.

357. Χαῖρ' ὦ πρεσβῦτα] Νῦν οὐχ ὡς σεμνόν τινα προςηγόρευσαν διὰ τὸν χρόνον, ἀλλ' ἀνόητον. τοὺς γὰρ δη-

---

omisso fabulae indice, scriptum: Εὔπολις, ἐπὶ τοῖς αὐτοῖς διαβάλλων αὐτὸν ἐγκλήμασιν οὕτως.

*) V. 19. 20. 592. 822. Suidas in Κλεώνυμος affert e Pace v. 444 seqq. Legebatur ὁ αὐτός.

**) Legebatur: λέγων οὕτως, ληρεῖς ἔχων, γράφ' αὐτὸς ἐν ἐπεισοδίῳ. γελοῖος ἔσται Κλεισθένη κυβεύων ἐν τῇ τοῦ κάλλους ἀκμῇ. Τοῦτον ἰδοῦσαι, et quae sequuntur. Emendavit ex parte Piersonus ad Moerin p. 391. Sed ἐν τῇδε τοῦ κάλλους ἀκμῇ sic scripsit et Cratini verbis continuavit Bentleius. Suidas in Κλεισθένους ἀκρατέστερος: οὗτος ἐπὶ κιναιδίᾳ διεβέβλητο καὶ ἐγυναικίζετο. καὶ Κρατῖνος· ληρεῖς ἔχων. γράφων αὔτ' ἐν ἐπεισοδίῳ, γελοῖος ἔσται Κλεισθένης κυβεύων. Idem in Κλεισθένην ὁρῶ: οὗτος ἀεὶ ἐξυρᾶτο. λέγεται οὖν ἐπὶ τῶν ἀεὶ ξυρωμένων. ἦν δὲ Σιβυρτίου· καὶ τοῦτο ἔπραττε διὰ τὸ νέος φαίνεσθαι ἀεί.

θεν ἀρχαίους καὶ παλαιοὺς πρεσβύτας ἔλεγον *). Παλαιγενές. Οὐκ ἐπὶ σεμνῆς προςηγορίας τοῦτο παρείληφεν, ἀλλ' ἀνόητον δεῖξαι βουλόμενος. τοὺς γὰρ εὐήθεις καὶ ἀνοήτους ἀρχαίους καὶ παλαιοὺς ἐκάλουν. Schol. cod. Leid.

Θηρατά] Ἀντὶ τοῦ ἰχνευτὰ λόγων, ἢ ζηλωτά, ἢ μετιὼν λόγους.

358. Ὅ τι χρῄζεις] Ὅ τι βούλει **). Σωκράτει δὲ λέγουσι. τὸ δὲ λεπτοτάτων λήρων, ἀντὶ τοῦ συνετωτάτων, καὶ δυςπαρακολουθήτων λόγων.

360. Πλὴν ἢ Προδίκῳ] Οὕτως ἡ ἀκολουθία εἶχε τοῦ λόγου, πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε, τὸ μὲν σοὶ καταρχὰς οὐκ εἰπών, ἔπειτα δὲ ἐπενεγκών. μέμνηται δὲ νῦν τοῦ Προδίκου, διασύρων, ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν***) τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος †) τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δ' αὐτοῦ Πλάτων ἐν τῷ Πρωταγόρᾳ, καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν (II. 1, 21.) · οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς·

τοῦτον τὸν ἄνδρ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις ††).

διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν οὕτω (v. 692.)·

---

*) Ruhnkenius scribendum putabat: τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς καὶ πρεσβύτας ἔλεγον.

**) Legebatur βούλοιο.

***) Sic edd. vett. Postea ὄντος edidere.

†) Ita Suidas in Πρόδικον recte. Notum e Platonis Protagora vol. III. p. 97. 147. 150. ed. Bip. Legebatur Χῖος. Suidam multo integrioribus scholiis usum esse, monuit Hemsterhusius Append. animadv. in Lucian. p. 3.

††) Scholiastes et Suidas τὸν ἄνδρα τοῦτον ἢ βιβλίον. Brunckius ἢ delevit. Dindorfius in fragmentis τὸν ἄνδρα τόνδ' ἢ edidit. Reliqua occupata erant a Toupio ad Suidam vol. III. p. 163. Διέφθειρεν et apud scholiasten et apud Suidam erat, sed hic et Proclus MS. apud Ruhnkenium ad Xenoph. Mem. Socr. I. 2, 31. apud quem posterior versus cum fragmento Eupolidis commixtus est, recte εἷς γέ τις, quod in scholiis erat εἴςφρησις. His non offensum Ruhnkenium iure vituperavit Schaeferus. Fragmentum illud Eupolidis, cuius initium etiam in Etym. M. p. 18, 9. exstat, apud Olympiodo-

*παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τολοιπόν**). διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους**), τοῦ ἐπικαλουμένου Κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος συμμετέσχεν. (Κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε, καὶ τῷ πλήθει)***). καὶ πλάττει τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλουσῶν ἑκατέρων ἐπὶ τὰ ἤθη αὐτῶν, προςκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα, καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προςκαίρων τῆς κακίας ἡδονῶν. 𝔊 Ἄλλως. Ἐπὶ καθαιρέσει Σωκράτους τὸν Πρόδικον νῦν μέγαν ἀποφαίνει διαφερόντως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. ἐπὶ κιναιδίᾳ δὲ διεβάλλετο †). *Πλὴν ἤ. εἰ μή. γνώμης.* συνέσεως. Glossae Vict.

361. *Βρενθύει*] Ἀποσεμνύνεις σεαυτὸν ἐν τῷ σχήματι, καὶ ταυρηδὸν ὁρᾷς. 𝔊 Ἄλλως. Σεμνύνῃ καὶ μέγα φρονεῖς. οἱ γὰρ ἐπιδεδωκότες αὐτοῖς ††) σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπουμένου †††).

Καὶ τὠφθαλμὼ παραβάλλει] Ἀπὸ τῶν ὀφθαλμῶν σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι σεμνοὶ μὲν φανῆναι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτη-

---

rum, citatum a Wyttenbachio ad Plat. Phaedon. p. 175. sic legitur: τί δῆτα ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχόν, ὃ τ' ἄλλα μὲν πεφρόντικεν, ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου κατημέληκε. Male hos versus tentarunt Wyttenbachius et Reisigius in praefat. p. 28. Verba τί δῆτ' ἐκεῖνον Dindorfius suspicabatur ex Nub. v. 181. sumpta esse. Fragmentum ita corrigendum videtur:

μισῶ δ' ἐγὼ καὶ Σωκράτην τὸν πτωχὸν ἀδολέσχην,
ὃς τἄλλα μὲν πεπρόντικεν . . . . . .
ὁπόθεν δὲ καταφαγεῖν ἔχοι, τούτου κατημέληκεν.

*) Sic, ut in scholiis est, etiam ed. Lips. ex Ravennate libro, ut videtur. Vulgo in Avibus Προδίκῳ παρ' ἐμοῦ.

**) Verba καὶ Θηραμένους addidi e Suida in Πρόδικος.

***) Verba καὶ τῷ πλήθει necessario addenda erant e Suida in Πρόδικος. Vide hunc etiam in Κόθορνος.

†) Haec verba, ἐπὶ κιναιδίᾳ δὲ διεβάλλετο, Ruhnkenius e scholio v. 354. huc inculcata esse censet.

††) Vide ad Viger. p. 738. n. 132.

†††) Hoc scholion inde ab ἄλλως legebatur infra post Πλάτων, quem errorem iam indicaverat Hemsterhusius ad Lucian. vol. I. p. 367. seqq. Etiam Suidas haec habet in βρενθύεσθαι.

θεύματα. οὕτω δὲ ἐβάδιζε Σωκράτης. καὶ Πλάτων περὶ αὐτοῦ· ταυρηδὸν ὑποβλέψας, ὥςπερ εἰώθει*). ♣ Ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταὐτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν. Schol. quarti Reg.

370. † Καί τοι 'χρῆν] Ἀντὶ τοῦ, καί τοι ἐχρῆν. †

Αἰθρίας ὕειν αὐτόν] Εἰ τὸ βρέχειν ἦν, φησίν, ἐν τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν ἦν τοῦτο τὸ ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ὕειν ἄνευ Νεφελῶν. ℊ Ἄλλως. Δοκεῖ τῆς κατὰ Μύσκελλον**) ἱστορίας ἔχεσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι, κτίζειν πόλιν, ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ· ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ Ἰταλίαν, καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην, καὶ τέλος εἰληφέναι τὸ χρηστήριον. διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. ♣ Καίτοι χρῆν αἰθρίας οὔσης. εἰ τὸ ὕειν, φησίν, ἔργον ἦν τοῦ Διός, ἔδει αὐτὸν ὕειν μηδαμῶς τῶν νεφελῶν φαινομένων. ἴσως δὲ δοκεῖ τὸ λεχθὲν ἔχεσθαι τῆς κατὰ Μύσκελον ἱστορίας. ὁ Μύσκελος γὰρ χρησμὸν δεξάμενος, κτίσαι πόλιν ὅπου ἂν αὐτὸν ὑετὸς καταλάβοι αἰθρίας οὔσης, ᾤετο μηδέποτε ἂν κτισθῆναι ὑπ' αὐτοῦ πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγενόμενος δὲ περὶ τὴν Ἰταλίαν καὶ μηχανώμενος***) περὶ τὴν κτίσιν τῆς πόλεως, πα-

*) Legebatur Σωκράτης καὶ Πλάτων. Inde quae sequuntur addidi e Suida in τὼ ὀφθαλμὼ παραβάλλῃ. Plato etiam in Symposio c. 36. huius rei meminit, ubi pariter ac Diog. Laert. II. 28. in Aristophane activam formam παραβάλλεις invenisse videtur. Athenaeus quidem V. p. 216. A. ubi de Socrate βρενθυόμενος καὶ παραβάλλων dicit, non Aristophanem, sed Platonis locum spectavit. Contra mediam formam agnoscunt in hoc loco Aristophanis Suidas in τὼ ὀφθαλμώ, et Eustathius ad Iliad. I. p. 768, 10. Sed Philodemus περὶ κακιῶν in volum. Herculanens. I.. fol. 22.

ΟΝΟΔΡΙCΤΟΦΑΝΗCΙΟΝΒΡΕΝΟΥ
....ΕΝ..ΑΙCΙΝΟΔΟΙCΚΑΙΤ....
Θ..ΛΜΩΠ..ΡΑΒΑΛΚΕΙCΕΚΩ
ΔΕΙ

**) Μύσκελος apud Suidam in Μύσκελος, ubi eadem ferme narrantur.

***) Legendum esse ἀμηχανῶν monuit Dobraeus.

ρακαθίσασαν τὴν παλλακίδα*) δακρύουσαν καὶ ὀδυρομένην, καὶ τέλος ὑπολαβὼν τὸν χρησμὸν εἰληφέναι, ἔκτισε τὴν πόλιν Schol. cod. Harl. 5. ap. Dobraeum (p. 119)

372. *Προςέφυσας*] Ἥρμοσας. καλῶς καὶ ὡς ἔδει προςήρμοσας. Glossa.

373. *Τετρεμαίνειν*] Κατὰ ἀναδιπλασιασμόν. ἀντὶ τοῦ, φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων.

376. *Κρημνάμεναι*] Κρεμάμεναι ἐκ τοῦ ἀέρος. ¶ Οἷον, ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι· περισσὸν δὲ τὸ εἶτα.

377. *Παταγοῦσιν*] Ἠχοῦσιν. Ὅμηρος (Iliad. XIII. 283.)·

πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων.

379. *Αἰθέριος δῖνος*] Καὶ τοῦτο ἐθρυλεῖτο παρὰ τοῖς φυσικοῖς. τουτέστι δίνησις ἡ αἰθερία. ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορείων**) λαμβάνει.

380. *Δῖνος νυνὶ βασιλεύων*] Ἐγγύθεν ἔλαβεν ἐκ τοῦ Διός· ὥςπερ εἰ ἔλεγε, μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. ¶ Οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεοῦν ἐστὶ βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δῖνος παρείληφε διάνοιαν. ✠ Δῖνος. Δῖνος κυρίως ὁ τόρνος· ἐνταῦθα δὲ ἡ τοῦ οὐρανοῦ κίνησις, ἀφ' οὗ δίνη ἡ συστροφή, καὶ δινεῖν τὸ συστρέφειν. ὁ μὲν οὖν Σωκράτης δῖνον εἶπε τὴν τοῦ οὐρανοῦ ἢ τοῦ ἀέρος συστροφὴν καὶ κίνησιν καὶ περιφοράν. ὁ δὲ Στρεψιάδης ποτήριόν τε ἐνόησε κεραμοῦν, δῖνον καὶ τοῦτο καλούμενον παρ' Ἀττικοῖς, τὸ λεγόμενον καύκιον. Schol. Vict.

384. *Ἀπὸ σαυτοῦ 'γώ σε διδάξω*] Εἰς τὸ σαυτοῦ τελείαν στικτέον, ἐπεὶ συνθετόν ἐστι, καὶ ἀμετάβατον γίνεται ὑφ' ἓν λέγουσι***).

385. *Ζωμοῦ Παναθηναίοις*] Ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δα-

---

*) Idem monuit addendum esse ἰδών.

**) Vide Wielandii Museum Atticum II. 3. p. 62.

***) Vide Apollon. Alex. de Syntaxi II. 19. 20.

φίλεια τῶν κρεῶν. ϑ Ἄλλως. Ἤδη πότ' ἐν τοῖς Παναθηναίοις ἐκόρεσάς σου ζωμοῦ τὴν γαστέρα. τὰ δὲ Παναθήναια ἑορτὴν παρ' Ἀθηναίοις εἶναι μεγίστην παρὰ πάντων ᾄδεται. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ἀπὸ τῶν Ἀθηνῶν ἀποικισθεῖσαι πόλεις*) βοῦν τυθησόμενον**) ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν, ὥςτε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας διὰ τὴν ἀφθονίαν τῶν κρεῶν***). ✠ Παναθηναίοις. Τὰ Παναθήναια ἑορτὴ τῶν Ἀθηνῶν ἦν πασῶν τῶν ἐν Ἀθήναις τελουμένων ἑορτῶν ἡ μεγίστη, ἐν ᾗ ζῴων πολλῶν σφαττομένων, ὡς πασῶν τῶν ἀποικισθεισῶν ἀπ' Ἀθηνῶν πόλεων πεμπούσης ἑκάστης ἀνὰ ἕνα βοῦν εἰς τὴν θυσίαν καὶ ἕτερα ἱερεῖα, οἱ μὲν τῆς καλλίονος μοίρας ἄνθρωποι τὰ κρέατα ἤσθιον, οἱ πένητες δὲ τοὺς ζωμοὺς σὺν τμήματι ἄρτου βραχυτάτῳ. Schol. Vict.

Εἶτ' ἐταράχθης] Εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα.

386. Καὶ κλόνος ἐξαίφνης] Καὶ στρόφος τις καὶ ἴλιγξ †) αὐτῇ συνέπεσε. Διεκορκορύγησε δέ, ἀντὶ τοῦ ἤχησε. κορκορυγεῖν γάρ ἐστι τὸ τὴν γαστέρα λαλεῖν μόνον. ϑ Ἢ ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον.

391. Τυνουτουί] Ποσοῦ ††). συναγαγὼν δὲ τοὺς δακτύλους ἐρεῖ. τύνον γάρ, τὸ μικρόν. ὅτε δὲ ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προςάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει· καί φησι, θαυμάζεις, εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανόν, ὅτε ἀπὸ μικρᾶς οὕτω τῆς σῆς οὔσης κοιλίας τοσοῦτος ἦχος ἀπὸ τῶν πορδῶν γίνεται;

393. Τὼ 'νόματ' ἀλλήλοιν] Διὰ τοῦτο καὶ τὰ τοιαῦτα ὀνόματα ἀλλήλοις εἶναι δοκεῖ προςφερῆ καὶ ὅμοια, τῆς βροντῆς καὶ τῆς πορδῆς. ϑ Ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον.

---

*) Sic Aldus. Vulgo πόλεις post πᾶσαι.

**) Sic Aldus. Vulgo θυσόμενον. Cod. Leid. τεθυσόμενον.

***) Cod. Leid. συνέβαινεν ἀφθονίαν εἶναι κρεῶν, ὥςτε κορέννυσθαι πληρουμένους τοὺς βουλομένους κρεάτων τε καὶ ζωμῶν.

†) Legebatur εἴλιξ. Mutatum e Suida in διεκορκορύγησεν. Vide schol. ad Acharn. 581.

††) Sic scripsi. Aldus enim ποσόν. Vulgo: τὸ τυνουτονὶ ποσὸν δηλοῖ.

395. *Καὶ καταφρύγει*] Λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἀψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. ϛ Ἄλλως. *Καταφρύγει*, καταίθει. *Περιφλύει* δέ, περικαίει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν. ✠ Κατακαίει. *Τοὺς ζῶντας*, τοὺς πλουσίους. *Περιφλύει*, ἐξ ἐπιπολῆς καίει. Glossae Br. *Τοὺς δὲ ζῶντας περιφλύει*. Ἤγουν τοὺς μὴ ἀποθανόντας μετρίως καίει. Glossa cod. Leid.

397. *Κρονίων ὄζων*] Οἷον ἀρχαϊκῆς εὐηθείας ὀδωδώς. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή, τὰ παρὰ Ῥωμαίοις καλούμενα Σατουρνάλια. ἢ Ἀπατούρια*). ✠ Ἀρχαϊκῆς**) εὐηθείας πνέων. ἔστιν δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. ἤγετο δὲ ἑκατομβαιῶνι μηνί. καὶ Κρονίους τοὺς λήρους ἐκάλουν. Schol. MS. Rav.

Βεκκεσέληνε] Σεσόγχωσις ὁ βασιλεὺς τῶν Αἰγυπτίων, κοσμοκράτωρ γεγονώς, ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βέκ, ἤκουσε καὶ ἔγνω ὁ βασιλεύς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες. παρ' αὐτοῖς δὲ ὁ ἄρτος βὲκ λέγεται. συνθέτως δὲ εἶπε τὴν λέξιν βεκκεσέληνε· ἐπεὶ καὶ οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο. *Ἀπολλώνιος* (IV. 264.)·

Ἀρκάδες, οἳ καὶ πρόσθε σεληναίης ὑδέονται.
τοῦτο δὲ τοὔπος οἱ περὶ τὸν *Λούκιλλον* τὸν Ταῤῥαῖον, καὶ *Σοφόκλειον*, καὶ *Θέωνα* ἑρμηνεύοντες, τάδε φασίν***)· οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι· ὡς καὶ *Εὔδοξος* ἐν τῇ Περιόδῳ. *Θεόδωρος* δὲ ἐν τῇ εἰκοστῇ δευτέρᾳ****), ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς†) Γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ *Ἀρίστων*††) ὁ Χῖος ἐν ταῖς Κτίσεσι†††), καὶ *Διονύσιος* ὁ Χαλκιδεὺς

*) Errorem notavit Buttmannus in Comment. Acad. Berolin. a. 1814. p. 183.

**) Legitur ἀρχαίας καί.

***) Vide Rutgersium in Var. Lectt. IV. 18.

****) Schol. Apollon. ἐν εἰκοστῷ ἐννάτῳ.

†) Articulus additus e schol. Apollon.

††) Sic recte schol. Apollonii. Hic legebatur Ἀριστίας.

†††) Emendatio Rutgersii. Hic et in schol. Apollon. legebatur Θέσεσι.

ἐν πρώτῳ Κτίσεως, ὅς*) καὶ ἔθνος φησὶν Ἀρκαδίας Σεληνίτας εἶναι· Μνασέας δέ φησι Προσέληνον Ἀρκάδων**) βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησίν, ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν, οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν Ἀρκάδων***) πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ καὶ προςωνομάσθησαν****) προσέληνοι. Δοῦρις δὲ ἐν τῷ πεντεκαιδεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησίν, ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν. διὸ καὶ πόλιν*****) τῆς Ἀρκαδίας Ὀρχομενόν. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους τῆς σελήνης, ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων †). ἔνιοι δὲ ὑπὸ Τυφῶνος. ὑπὸ δὲ Ἄτλαντος καὶ ††) Ξεναγόρας εἴρηκεν. Ϡ Ἄλλως †††). Ἀντὶ τοῦ, ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν, ἀπὸ τῆς ἱστορίας, τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους ἐν ταῖς ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ὕλαις ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος, καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγας ††††) ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν, οὐκ αἶγας, ἀλλὰ τὰς ἑαυτῶν μητέρας, ἐκτετμημένας τὰς αὐτῶν γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι, ὁμιλουσῶν ἀλλήλαις, τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰςελθεῖν πρὸς αὐτά. εἰςελθόντος δὲ αὐτοῦ προςεπήδησαν τὰ παιδία, λέ-

---

*) Ὅς addidi. Scholiastes Apollonii sic: ἐν πρώτῳ Κτίσεως τὰ αὐτά φασι, καὶ ἔθνος δὲ Ἀρκαδίας Σεληνίτας εἶναι.

**) Schol. Apollon. πρὸ σελήνης Ἀρκάδας. Conf. Valck. Animadv. ad Ammon. p. 168.

***) Schol. Apollon. ὑπὸ τῶν Ἀρκάδων ἐπιθεμένων αὐτοῖς.

****) Schol. Apollon. κατωνομάσθησαν.

*****) Sic schol. Apollon. Hic legebatur ποταμόν. Vide Wassium ad Thucyd. V. 61. et O. Müllerum in Orchomeno p. 430. atque in Doriensium vol. II. p. 441.

†) Verba Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων addita e schol. Apollon.

††) Καὶ abest in schol. Apollon.

†††) Quae sequuntur, nonnihil mutata habet Suidas in βεκκεσέληνε.

††††) Aldus αἶγα.

γοντα βὲκ *). ἔστι δὲ τοῦτο Φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ' Ἡροδότῳ (II. 2.), ἔνθα περὶ Ψαμμητίχου φησί. ℐ Δέον δὲ εἰπεῖν προσέλησε, τὸ βὲκ παρέπλεξεν. ὅπερ ἐστι κατὰ Φρύγας ἄρτος. ℐ Οἷον σεληνόβλητε καὶ ἀπόπληκτε.

399. Σφόδρα γ' εἰσ' ἐπίορκοι] Οὗτοι, οὓς εἶπεν, ὡς ἐπίορκοι καὶ εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται.

400. Καὶ Σούνιον ἄκρον Ἀθηναίων] Χάρις ἐστὶν ἐκ στίχου τοῦ ἀλλοτρίου **), ὡς ἔφη Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ ἑρμηνείας. οὐκέτι γὰρ ὁ Ζεὺς κωμῳδεῖσθαι δοκεῖ, ἀλλ' Ὅμηρος, καὶ ὁ στίχος ὁ Ὁμηρικός ***). ✠ Σούνιον. Τόπος τῆς Ἀττικῆς, ἀκρωτήριον ὢν τῆς Ἀτλαντίδος φυλῆς. Schol. MS. Rav.

401. Τὰς δρῦς γε τὰς μεγάλας] Ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδροις ἐμπίπτει ὁ κεραυνός. σημειωτέον δὲ ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς.

402. Οὐκ οἶδ', ἀτάρ] Ἐστενοχωρήθη ὑπὸ τῶν Σωκράτους λόγων.

403. Ξηρός] Εὔδιος, καὶ θερμός, καὶ μηδεμίαν ὑγρασίαν †) ἔχων. φησὶ δὲ ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις, καὶ ὑπό τινος ἀνάγκης ἐλαυνομενος, σφοδρότερον πνεύσας καὶ διαῤῥήξας ἀποῤῥήγνυσιν ἐξ αὐτῶν τὸν κεραυνόν. Κατακλεισθῇ δὲ ἀντὶ τοῦ στενοχωρηθῇ, συσχεθῇ, καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. ἐντεῦθεν δὲ δῆλον, ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιόν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον.

404. Ὥσπερ κύστιν] Τὴν κοιλίαν, τὴν φῦσαν. εἴρηται δὲ φῦσα, ἀφ' οὗ πάσχειν πέφυκε. κύστις δὲ κοιλίας διενήνοχε. τὸ μὲν γὰρ τῆς ὑγρᾶς περιττώσεως δεκτικὸν μόριον ὀνομάζεται κύστις· τὸ δὲ τῆς ξηρᾶς, κοιλία· ὡς Ἀριστοτέλης περὶ ζῴων ἱστορίας α' (cap. V.). Ῥήξας δέ, διασκεδάσας, διασκορπίσας ††).

---

*) Suidas βέκκος. Herodotus βέκος.

**) Legebatur τοῦ ἀλλοτρίου.

***) Legebatur, καὶ ὁ στίχος Ὁμηρικός.

†) Ald. et Iunt. θερμασίαν. Correctum in Bas.

††) Ruhnkenius scholiastam ῥίψας legisse putabat.

405. ✠ Σοβαρός. αὐθάδης, ὑπερήφανος. Gloss. Vict

406. ✠ Ῥοίβδου. ψόφου. ῥύμης. ὁρμῆς. Gloss. Vict.

407. ✠ Ἀτεχνῶς. ἀμελῶς, ἀμαθῶς. Gloss. Vict.

Διασίοισιν] Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διός· ἄγεται δὲ μηνὸς ἀνθεστηριῶνος η' φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου Διὸς ἑορτῆς, καὶ προςαγορεύεσθαι αὐτὰ λέγει, καθάπερ τινὲς φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας *). ⁋ Ἄλλως. Ἑορτὴ Διὸς τὰ Διάσια Ἀθήνησιν, ἐν ᾗ πανδημεὶ ἔξω τείχους σιωπόντες ἑορτάζουσιν.

408. ✠ Ξυγγένεσιν. ἤγουν τοῖς συμπεφυκόσι κοπρίοις. Gloss. Vict.

Κᾆτ' οὐκ ἔσχων] Οὐκ ἔσχαζον. Ἀττικῶς ἔκλινεν. οὐκ ἐκέντουν, οὐκ ἔσχασα**). ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαῤῥαγῇ. ⁋ Ἄλλως. Οὐκ ἔσχαζον. εἰώθασι δὲ κεντεῖν καὶ σχάζειν, δίοδον χαριζόμενοι τῷ πνεύματι. ἔστι δὲ ἀπὸ τοῦ σχάω, σχῶ. ἐξ οὗ τὸ σχάζω· ὡς ἀπὸ τοῦ χλοῶ, χλοάζω, καὶ χνοῶ, χνοάζω. ✠ Ἔσχων, ἔσχασα. Glossa cod. Brunck.

409. Ἡ δ' ἄρ' ἐφυσᾶτο] Ὠγκοῦτο ἐπαιρομένων τῶν ἀρτύσεων. Διαλακήσασα δέ, διαῤῥαγεῖσα. λακὶς γάρ, τὸ σχίσμα. ✠ Ἠχήσασα. Gl. cod. Leid.

410. Προςετίλησε] Προςεῤῥάντισεν. οἰκείως δὲ νῦν τῷ προςετίλησε χρῆται, ὡς ἐπὶ κοιλίας.

413. ✠ Ταλαίπωρον. ἐπίπονον, τλητικόν. Gloss. Vict.

415. Μήτε ῥιγῶν] Ἐν γὰρ μόνῳ τῷ τρίβωνι ἐχείμαζον οἱ φιλόσοφοι, μηδὲν ἐσθίοντες. ✠ Ἀριστᾶν. εὐωχεῖσθαι, τρυφᾶν. Gloss. Vict.

416. Οἴνου τ' ἀπέχει] Τὸ αὐτὸ οὐκ ἐποίει***) Σωκράτης, ἀλλὰ πίνειν μὲν αὐτόν φασι πλεῖστον, νήφειν δὲ καὶ τὰ συνήθη πράττειν.

---

*) Hoc scholion sic edidimus ex libro Ravennate, in quo καὶ ante προςαγορεύεσθαι omissum. Vulgo post Διὸς legitur μηνὸς ἀνθεστηριῶνος φθίνοντος. Deinde διακρίνει τὰ Διάσια, et post ἑορτῆς sic: ὀνομάσθαι λέγων. ὡς δέ τινες, ἀπὸ τοῦ φυγεῖν αὐτοὺς ταῖς εὐχαῖς τὰς ἄτας. Vltimum vocabulum pridem emendaverant critici. Vide Hemsterhusium ad Luciani schol. T. I. p. 113.

**) Legebatur οὐκ ἐκλίνουν. οὐκ ἔσχισα. Ita etiam mox κεντεῖν καὶ σχίζειν erat, et in Glossa cod. Brunckii ἔσχισα.

***) Sic Wolfius pro εἶπε.

417. ✠ *Δεξιόν.* εὐφυῆ. Gloss. Vict.

Ἀνοήτων] Τῶν ἀφροδισίων· τῆς τοιαύτης λαγνείας. ἀνοηταίνειν γὰρ καὶ μωραίνειν τὸ ἀφροδισιάζειν ἔλεγον*). ✠ Ἀφροδισίων, καὶ πάντων τῶν ἐκ μωρίας γινομένων. Glossa.

418. *Τῇ γλώττῃ πολεμίζων*] Τῇ γλώττῃ πολεμοῦσι τοῖς ἐναντίοις**) οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν, ὡς οὗτος ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ. τὸ δὲ *δυςκολοκοίτου*, δυςκόλως κεῖσθαι ἐώσης. *Τρυσιβίου* δέ, κεκολασμένης καὶ καταπονούσης τὸν βίον. ✠ *Γλώττῃ πολεμίζων.* διαλεγόμενος, Gloss. Vict.

420. *Θυμβρεπιδείπνου*] Θύμβρα, εἶδος λαχάνου. ἀφ' οὗ δῆλον, ὅτι λάχανα μόνον ἤσθιον εὐτελῆ***). † Ἐκ δὲ τοῦ λαχάνου τούτου καλοῦμεν τὸν εὐτελῶς καὶ φειδωλῶς ζῶντα, θυμβρεπίδειπνον. † ✠ Εὐτελοῦς περὶ τὰς τροφάς. Glossa. Θρύμβον δειπνούσης. Gloss. cod. Leid. *Τρυσιβίου.* τρύσις, νόσος, πόνος. Gloss. Vict.

421. *Ἐπιχαλκεύειν*] Παίεσθαι †), οἱονεὶ ἄκμων.

423. *Τὸ Χάος τουτί*] Χάος λέγει τὸν ἀέρα· παρὰ τὸ κεχύσθαι. ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἤσκουν τὴν πολυλογίαν. ✠ *Γλῶτταν*, τὴν στωμυλίαν. Glossa.

424. *Οὐδ' ἂν διαλεχθείην*] Ἀντὶ τοῦ, οὐδὲ προςείποιμι.

426. *Οὐκ ἀτυχήσεις*] Οὐκ ἀποτεύξῃ. ἀντὶ τοῦ τεύξῃ, ὧν ἐθέλεις. *Δεξιὸς* δέ, ἀντὶ τοῦ πεπαιδευμένος.

431. *Γνώμας μεγάλας*] Δημηγορίας.

433. *Ὅσ' ἐμαυτῷ*] Χάριν ἐμαυτοῦ. Glossa.

434. *Στρεψοδικῆσαι*] Στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν, τοὺς δανειστὰς ἐκ-

---

*) Legebatur, τὸ γὰρ ἀνοηταίνειν, μωραίνειν, διὰ τὸ ἀφροδισιάζειν ἔλεγον. Suidas in ἀνόητα: μωραίνειν γὰρ τὸ ἀφροδισιάζειν ἔλεγον.

**) Τοὺς ἐναντίους edd. vett.

***) Ernestius εὐτελεῖς. Wolfius ἤσθιεν. Suidas in θυμβρεπιδείπνου, ἀφ' οὗ δηλοῖ, ὅτι λάχανα μόνα τρώγουσιν εὐτελῆ. Ita scribendum pro τρωγούσης.

†) Legebatur παιδεύεσθαι.

φυγεῖν. ✠ Διὰ στροφῆς καὶ ποικιλίας λόγων τὸ δίκαιον διαφθεῖραι. Glossa. Διολισθεῖν. ἐκφυγεῖν. Gloss. Vict.

435. Προπόλοισι] Πρόςφυξι καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις. Πιέζει δέ, στενοχωρεῖ, ἀναγκάζει. ✠ Προπόλοισιν. ὑπηρέταις, νεωκόροις. Gloss. Vict.

437. Τοὺς κοππατίας] Μετὰ τοῦ χαράγματος ϛ *). ℨ Τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ.

Ὅς μ' ἐπέτριψεν] Ὅς αἴτιός μοι πάντων τῶν συμβάντων κακῶν· ἢ δι' ὃν ἐδυςτύχησα. ✠ Ἠφάνισεν. Gloss. Vict.

438. Νῦν οὖν χρήσθων] Ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη'· ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον **)· τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ, ὡς εἴρηται, καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι.

440. Χρήσθων] Κατὰ δυϊκὴν προφοράν. ℨ Ὡς δυϊκὸν ἔχον τὸν σχηματισμόν. πληθυντικῶς δὲ νῦν λέλεκται, χρήσθωσαν. Ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις· οἷον ποιούντων ἐκεῖνοι, ἀντὶ τοῦ ποιείτωσαν, φρονούντων, ἀντὶ τοῦ φρονείτωσαν. ὡς καὶ ἐνταῦθα νῦν φησί, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος.

441. Τύπτειν] Ὑπὲρ τοῦ πιστεύεσθαι ἐμμένειν αὐτὸν τοῖς ὑποκειμένοις, προςέθηκε πλέον, ἢ ἐκεῖνοι προςέταξαν. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος ὑπομένειν, πῶς οὐκ ἂν τὸ ἧττον ἐνέγκοι ῥᾳδίως.

442. Ἀσκὸν δέρειν] Ἀντὶ τοῦ, τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. ✠ Αὐχμεῖν. ξηραίνεσθαι, ἀλουτιᾶν. Gloss. Vict.

445. Ἴτης] Ἰταμός, ἀναιδής, καὶ δι' αὐτῶν χωρῶν τῶν πράγματων. ✠ Ὁρμητικός. Glossa.

446. Βδελυρός] Καὶ τὸν πόρνον οὕτως ἐκάλουν· ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης· καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισεῖσθαι, βδελύττεσθαι. ἢ τὸν ἀνελεύθερον. τὸ δὲ ψευδῶν

---

*) Legebatur καί.

**) Scholiastes enim in Aristophane legebat:
νῦν οὖν χρήσθων ἀτεχνῶς, ὅ τι βούλονται.

συγκολλητής, ἀντὶ τοῦ ψευδοπλάστης. ❖ Μιαρός. Glossa. Θρασύς, ἰσχυρός. Gloss. Vict. Συγκολλητής. συῤῥαφεύς. Gloss. Vict.

447. Εὑρησιεπής] Ἐφευρετὴς λόγων. Glossa membr. Reg. Περίτριμμα δικῶν] Τετριμμένος περὶ τὰς δίκας. Glossa.

448. Κύρβις] Ἡ σανίς, ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν, εἰ τά τε ἄλλα δόξαιμι τοῖς πολλοῖς, καὶ ἔμπειρος εἶναι τῶν νόμων καὶ τῶν λόγων, ἡδέως ἂν ὑπομείναιμι πᾶν ὁτιοῦν παθεῖν. ϑ Ἄλλως. Κύρβις, ὁ περίεργος, ὃν οὐκ ἔστι λαβεῖν. ἢ μνήμων. καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. Ἀπολλόδωρος δέ φησι, πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβιν καλεῖσθαι· ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὸ δόξαν ἀνέγραφον ἐν αὐτοῖς *)· οὓς ἀπὸ μὲν τῆς στάσεως, στήλας, κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος ἀνατάσεως ἐκάλουν **). ὕστερον δὲ τὰ ξύλα ***) λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. ϑ Κύρβις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη· ἢ ὥς Ἐρατοσθένης φησίν, ἄξων Ἀθήνησιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Πλούταρχος δὲ ἐν τῷ Σόλωνος βίῳ (c. 25. p. 92.) περὶ αὐτοῦ λέγων, ἰσχὺν δέ, φησί, τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἔδωκεν ἐνιαυτούς, καὶ κατεγράφησαν †), εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους· ὧν ἔτι καθ'

---

*) Legebatur τὸ δόξαν ἀναγράφοντες· quod emendavimus e schol. Apollonii ad IV. 280. qui sic habet, εἰώθεσαν τὰ δόξαντα ἐν αὐτοῖς ἀναγραφεῖν. Ac pleraque, quae hic leguntur, et scholiastes Apollonii habet, et Suidas in κύρβεις, et Harpocration in eodem vocabulo, ad quem videndus Valesius, et Etymologus M. p. 547. de quo disputavit Ruhnkenius ad Timaeum v. κύρβις, p. 170. Vide etiam Heynium in fragmentis Apollodori p. 1058. seqq. sive 397. ed. sec.

**) Verbum ex Harpocratione additum. Suidas καλεῖσθαι post στήλας. In initio legebatur, οὓς μὲν ἀπὸ τῆς στάσεως. Harpocration et Suidas ὡς ἀπὸ μέν. Deinde pro ἀναβάσεως scripsimus ἀνατάσεως, quod firmat Suidas, in quo p. 401. scriptum εἰς ὕψος ἀνατεταμένας. Hic autem idem Suidas παρατάσεως habet, et Harpocration ἀναστάσεως. Ἀνατάσεως etiam Ernestius in praef. et ad Hom. vol. V. p. 123.

***) Heynius l. c. εἰς τὰ ξύλα.

†) Sic Ald. Ex Iuntinae ἐκατεγράφησαν deinde editum ἐγκατεγράφησαν.

ἡμᾶς ἐν πρυτανείῳ λείψανά τινα διεσώζετο· καὶ προςηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί, κύρβεις. καὶ Κρατῖνος ὁ κωμικός εἴρηκέ που·

πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν
φρύγουσιν ἤδη τὰς κάχρυς *) τοῖς κύρβεσιν.

ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται, κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὀνομάσθαι. ✠ Κύρβις, νόμων πλήρης. Glossa.

Κρόταλον]. Εὔστομος καὶ εὔγλωττος, ὡς τὰ κρόταλα. ℈ Λάλος. ✠ Πολυλόγος. Glossa.

Κίναδος] Εἶδός τι θηρίου. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι· ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ Σοφοκλῆς (Ai. 103.)·

ἡ τοὐπίτριπτον κίναδος ἐξῆρου μ' ὅπου.

κακοῦργος οὖν, φησίν, ὡς ἀλώπηξ. τινὲς δέ, κίναδος, ζῷον μικρόν, τὸ αἰδοῖον εἰςωθοῦν καὶ ἐξωθοῦν. ✠ Πανοῦργος. Glossa.

Τρύμη] Ὁ περιτετριμμένος **) ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. ℈ Τρῦμα καὶ τρῆμα τὴν ὀπήν φασι. θέλει οὖν εἰπεῖν, λεπτολόγος καὶ εὔστομος, ὡς τρύπανον. ℈ Τρύμη οὖν τρύπανον, ὡς πάντων περιγενόμενος ***). ἢ τρυσσὸς †) καὶ ταλαίπωρος. ἢ τρυμαλιά. ✠ Λεπτολόγος. Glossa.

449. Μάσθλης] Ἰδίως καλεῖται ὁ ἱμάς ††), ὁ κατειργασμένος καὶ ἔκλυτος. ℈ Μάσθλης οὖν, ὁ πολυγνώμων, καὶ μηδὲν βέβαιον, μηδὲ σταθερὸν γινώσκων, ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. ℈ Μάσθλης οὖν, ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. ✠ Μεμαλαγμένος. Glossa.

Εἴρων] Πάντα παίζων, ὑποκριτής, εἰρωνευόμενος.

Γλοιός] Τὸ αὐτο δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ με-

---

*) Legebatur κάγχρυς. De his versibus Valkenar. Diatrib. de fragm. Eur. p. 221. Pierson. ad Moerin p. 213.

**) Suidas, ὁ τετρυμένος σφόδρα, καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν.

***) Legebatur περιγενόμενον.

†) Legebatur τριός. Τρυσσὸς Hesychio est νοσερός, ἀσθενής, λεπτός, id quod hoc loco voluit scholiastes.

††) Ita Ruhnkenius, Suidam conferri iubens. Legebatur ἱταμός.

ταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθαίνειν πέφυκε. τοιοῦτος οὖν ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα διολισθαίνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο δὲ *) τοὺς τῇ γνώμῃ σκάζοντας, καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. § Ἡ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. § Ἄλλως. Γλοιὸς ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ **) καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγυς τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν, τὸν μοχθηρὸν δηλοῖ, καὶ ὀλισθηρόν, καὶ εὐμετάβολον. § Γλίσχρος. Glossa.

450. Κέντρων] Φανερὸς κλέπτης. ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων, τουτέστι χαλεπός, καὶ φρικτός. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τύπτοντας. § Κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συῤῥαφὲν σακκίων. § Καὶ ἐπίσαγμα τῶν ὄνων. § Ἄλλως. Οἱ ἐκ πολλῶν συνηθροισμένοι. ἐπεὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥαπτόμενα *) καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν· οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός. ✠ Πλήττων. Glossa.

Στρόφις] Ἀπὸ τοῦ στρόφιγγος ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι, λέγεται δὲ στρόφιγξ τὸ **) τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥςτε τὴν τοῦ ὕδατος ἐπέχειν, ὅτε τις θελήσει, καὶ αὖ πάλιν ἀνιέναι φοράν. ✠ Στρέφων τὰ πράγματα. Glossa.

Ἀργαλέος] Λυπηρός. Glossa.

---

*) Legebatur μέχρι δὲ τῆς δεῦρο τούς. Correctum e Suida in γλοιός.

**) Legebatur μικροῦ, ab Harlesio e Suida emendatum. Ruhnkenius γλίσχρον.

***) Legebatur οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα. Mutatum e Suida, qui sic habet: ὁ ἐκ πολλῶν συνεῤῥαμμένος· ἐπεὶ τοιαῦτα τοῖς ὑποζυγίοις συῤῥάπτοντες, καλοῦσι κέντρωνας. Nisi ad συνηθροισμένοι addendum est λόγοι. Sequitur enim apud Suidam, ὡςαύτως καὶ λόγους ἐκ διαφόρων συνειλεγμένους, καὶ ἕνα σκοπὸν ἀπαρτίζοντας.

†) Sic Ald. Καὶ Kusterus.

ἡμᾶς ἐν πρυτανείῳ λείψανά τινα διεσώζετο· καὶ προςηγορεύθησαν, ὡς Ἀριστοτέλης φησί, κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που·

πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος, οἷσι νῦν φρύγουσιν ἤδη τὰς κάχρυς *) τοῖς κύρβεσιν.

ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται, κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὀνομάσθαι. ❖ Κύρβις, νόμων πλήρης. Glossa.

Κρόταλον]. Εὔστομος καὶ εὔγλωττος, ὡς τὰ κρόταλα. § Λάλος. ❖ Πολυλόγος. Glossa.

Κίναδος] Εἶδός τι θηρίον. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι· ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ Σοφοκλῆς (Ai. 103.)·

ἡ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου.

κακοῦργος οὖν, φησίν, ὡς ἀλώπηξ. τινὲς δέ, κίναδος, ζῷον μικρόν, τὸ αἰδοῖον εἰςωθοῦν καὶ ἐξωθοῦν. ❖ Πανοῦργος. Glossa.

Τρύμη] Ὁ περιτετριμμένος **) ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. § Τρῦμα καὶ τρῆμα τὴν ὀπήν φασι. θέλει οὖν εἰπεῖν, λεπτολόγος καὶ εὔστομος, ὡς τρύπανον. § Τρύμη οὖν τρύπανον, ὡς πάντων περιγενόμενος ***). ἢ τρυσσὸς †) καὶ ταλαίπωρος. ἢ τρυμαλιά. ❖ Λεπτολόγος. Glossa.

449. Μάσθλης] Ἰδίως καλεῖται ὁ ἱμὰς ††), ὁ κατειργασμένος καὶ ἔκλυτος. § Μάσθλης οὖν, ὁ πολυγνώμων, καὶ μηδὲν βέβαιον, μηδὲ σταθερὸν γινώσκων, ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. § Μάσθλης οὖν, ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. ❖ Μεμαλαγμένος. Glossa.

Εἴρων] Πάντα παίζων, ὑποκριτής, εἰρωνευόμενος.

Γλοιός] Τὸ αὐτο δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ με-

---

*) Legebatur κάγχρυς. De his versibus Valkenar. Diatrib. de fragm. Eur. p. 221. Pierson. ad Moerin p. 213.

**) Suidas, ὁ τετρυμένος σφόδρα, καὶ πεπερονημένος ἐν τοῖς πράγμασιν.

***) Legebatur περιγενόμενον.

†) Legebatur τριός. Τρυσσὸς Hesychio est νοσερός, ἀσθενής, λεπτός, id quod hoc loco voluit scholiastes.

††) Ita Ruhnkenius, Suidam conferri iubens. Legebatur ἰταμός.

ταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθαίνειν πέφυκε. τοιοῦτος οὖν ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα διολισθαίνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δεῦρο δὲ *) τοὺς τῇ γνώμῃ σκάζοντας, καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ϑ Ἡ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. ϑ Ἄλλως. Γλοιὸς ἐπὶ τοῦ ῥυπαροῦ καὶ μιαροῦ **) καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγυς τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν, τὸν μοχθηρὸν δηλοῖ, καὶ ὀλισθηρόν, καὶ εὐμετάβολον. ϑ Γλίσχρος. Glossa.

450. Κέντρων] Φανερὸς κλέπτης. ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προςφέρουσιν. ἢ κέντρων, τουτέστι χαλεπός, καὶ φρικτός. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τύπτοντας. ϑ Κέντρων δέ ἐστι τὸ ἐπισασσόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συῤῥαφὲν σακκίων. ϑ Καὶ ἐπίσαγμα τῶν ὄνων. ϑ Ἄλλως. Οἱ ἐκ πολλῶν συνηθροισμένοι. ἐπεὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥαπτόμενα *) καλοῦνται κέντρωνες. οἱ δὲ τὸν λοίδορον ἀκούουσιν· οἱονεὶ κεντροτύπος, ὁ κεκεντρωμένος καὶ φρικτός. ✥ Πλήττων. Glossa.

Στρόφις] Ἀπὸ τοῦ στρόφιγγος ἡ μεταφορά. οἷον εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι, λέγεται δὲ στρόφιγξ τὸ **) τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥςτε τὴν τοῦ ὕδατος ἐπέχειν, ὅτε τις θελήσει, καὶ αὖ πάλιν ἀνιέναι φοράν. ✥ Στρέφων τὰ πράγματα. Glossa.

Ἀργαλέος] Λυπηρός. Glossa.

---

*) Legebatur μέχρι δὲ τῆς δεῦρο τούς. Correctum e Suida in γλοιός.

**) Legebatur μικροῦ, ab Harlesio e Suida emendatum. Ruhnkenius γλίσχρου.

***) Legebatur οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα. Mutatum e Suida, qui sic habet: ὁ ἐκ πολλῶν συνεῤῥαμμένος· ἐπεὶ τοιαῦτα τοῖς ὑποζυγίοις συῤῥάπτοντες, καλοῦσι κέντρωνας. Nisi ad συνηθροισμένοι addendum est λόγοι. Sequitur enim apud Suidam, ὡςαύτως καὶ λόγους ἐκ διαφόρων συνειλεγμένους, καὶ ἕνα σκοπὸν ἀπαρτίζοντας.

†) Sic Ald. Καὶ Kusterus.

451. *Ματιολοιχός*] Ἤτοι ὁ χρουσιμέτρης. μάτιον γάρ, εἶδος μέτρου. ἢ ὁ φειδωλός, καὶ σμικρολόγος, ἢ ὁ μυκτηριστής. ὀξύνει δὲ Ἡρωδιανός. ℊ Ἢ μάταιον, τὸ ἐλάχιστον. ἤτοι τὸν μάταια βουλευόμενον καὶ λοχῶντα. ✠ Σμικρολόγος, φειδωλός, καὶ οὐ προϊέμενός τι τῶν αὐτοῦ. Glossae. Ἐκ μεταφορᾶς τῶν μασώντων. Gloss. cod. Leid.

457. *Λῆμα μὲν πάρεστι*] Ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ', ὧν τὸ πρῶτον, τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον, τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον, δακτυλικὸν πενθημιμερές. τὸ τέταρτον, ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φερεκράτειον ἀτελές. τὸ ἕκτον, ἰαμβικὴ βάσις. τὸ ἕβδομον, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον, ὅμοιον. τὸ ἔνατον, ἰαμβικὸν πενθημιμερές, ὃ προῦχον καλεῖται. τὸ δέκατον, ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον, ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον, τροχαϊκὸν πενθημιμερές. τὸ τριςκαιδέκατον, ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεςκαιδέκατον, ὅμοιον τῷ ἐνάτῳ. τὸ πεντεκαιδέκατον, δακτυλικὸν ἑφθημιμερές, ὃ Ἀλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον, ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον, ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον, ὅμοιον τῷ ἐνάτῳ. τὸ ἐννεακαιδέκατον, ὃ παρατέλευτον, ὀνομάζεται δακτυλικὴ βάσις. τὸ εἰκοστόν, ὅμοιον τῷ πεντεκαιδεκάτῳ. ✠ *Λῆμα*. φρόνημα, ἀξίωμα. Gloss. Vict.

460. *Οὐρανόμηκες*] Μέγιστον· παρὰ τό (Iliad. X, 212. ubi ὑπουράνιον.),

ἐπουράνιον κλέος εἴη.

πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια.

464. ✠ *Τοῦτο*. τὸ ζῆσαι βίον τοιοῦτον. Gloss. Vict.

467. ✠ *Ἀνακοινοῦσθαι*.] Τὸ ἀνακοινοῦσθαι πρὸς τὸ πράγματα σύναπτε καὶ ἀντιγραφάς. εἰκότως δὲ εἶπε τῇ σῇ φρενί, δεικνὺς ἐντεῦθεν, ὡς ἄλλος μὲν ἂν τις οὐδενὸς ἄξια ταῦτα ἐλογίσατο, σὺ δὲ πλείστου ἄξια. Schol. Vict.

469. *Πράγματα κἀντιγραφάς*] Οὕτω γὰρ ἐκάλουν τὰς δίκας πάσας. Πράγματα κἀντιγραφάς, διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. τὸ δὲ ἑξῆς, ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς.

470. *Ἄξια σῇ φρενί*] Τὰ ἄξια πράγματα σὺν τῇ σῇ φρενὶ βουλευσομένους.

472. *Ἀλλ' ἐγχείρει*] Ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν· εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τῷ τέλει τῆς μὲν ἐπεκθέσεως δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι· τῆς δὲ διστιχίας παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λβ' ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα· ὧν τελευταῖον,

χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

ἐπὶ τῷ τέλει κορωνίς. ✠ *Ἐγχείρει.* ἀρχὴν ποίει. Gloss. Vict.

477. † *Τειχομαχεῖν μοι διανοεῖ*] Ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανὰς οὐχ ὡς ὁ Σωκράτης, οὕτω καὶ αὐτὸς ἐνόησεν, ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξεπίτηδες καὶ ὁ ποιητὴς ταύτην τὴν λέξιν ἔθηκεν † *).

480. *Ὀφείλεται*] Χρεωστεῖταί μοι δάνεισμα παρ' ἑτέρου. Glossa.

483. *Ἀποστερεῖν δ' ἔνι*] Πρὸς ὁμοιοκατάληκτον, καὶ πρὸς τὸ αὐτοῦ ὁ γέρων βούλευμα. τοῦτο **) γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς.

484. *Ἀμέλει*] Παρέλκει. Ἀττικὴ δὲ ἡ φράσις. ἀντὶ τοῦ, μὴ ἀθύμει.

486. *Συναρπάσει*] Ἀττικοῦ δευτέρου προσώπου ἀντὶ τοῦ. συναρπάσῃ. ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι ***), αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἐκ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ κυνηδόν.

492. ✠ *Δικάζομαι.* εἰς δικαστήριον ἀπέρχομαι. Gloss. Vict.

493. *Ἴθι νῦν κατάθου*] Ὅπερ ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια. ϑ Ἀποδῦσαι δὲ αὐτὸν βούλεται τὴν ἐσθῆτα. ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησίν, *ἠδίκηκά τι;* ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων, γυμνὸν εἰσάγει αὐτόν.

---

*) Pro postremis quattuor verbis schol. Vict. διλημμάτους τίθησι λέξεις.

**) Ald. τούτου.

***) Verba ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι omissa erant in ed. Kusteri.

495. Ἀλλ' οὐχὶ φωράσων] Ἔθος ἦν τους εἰςιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι, γυμνοὺς εἰςιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν. ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον, καὶ ζημίας αἴτιοι τούτῳ γένωνται. ℨ Οἱ γοῦν μέλλοντες εἰςιέναι, ἵνα ἐπιθεάσωνται τὰ †) χρήματα τοῦ δημοσίου, ἢ κατ' ἔρευναν, γυμνοὶ εἰςήεσαν, ἵνα μή τι ἀποκρύψωνται. ✠ Ἔθος ἦν τοῖς τότε φιλοσόφοις ἓν χιτώνιον ἐνδεδυμένους καὶ ἡμιγύμνους καθημένους φιλοσοφεῖν. κατὰ τοῦτο οὖν τὸ ἔθος κατάθου εἶπεν ὁ Σωκράτης τῷ Στρεψιάδῃ τὸ ἱμάτιον, ἤγουν ἀπόδυσαι. ὁ Στρεψιάδης δὲ ὑπολαβὼν ὅτι ἀποδύσασθαι τοῦτο κελεύει, ἵνα τὸ ἱμάτιον αὐτοῦ δῆθεν ἀφέληται, ἢ γυμνωθέντα τούτου ††) ἱμᾶσι τύψῃ, ἠδίκηκά τι †††), φησί, καὶ διὰ τοῦτο βούλει ἀφαιρεῖσθαί μου τὸ ἱμάτιον. Schol. Vict.

500. Ἡμιθνὴς γενήσομαι] Ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν, ἅτε φιλοσοφίᾳ συντετηκώς· παρὸ ἐκαλεῖτο νυκτερὶς καὶ πύξινος. ✠ Ἰστέον ὅτι ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν ἦν, ἅτε φιλοσοφίᾳ συζῶν, καὶ ἐκ ταύτης συντετηκὸς ἔχων τὸ σῶμα. διὸ καὶ νυκτερὶς ἐκαλεῖτο, διὰ τὸ ἰσχνόν. Schol. MS. Brunck.

503. Μελιτοῦτταν] Μάζαν τῷ μέλιτι δεδευμένην. ἔφερον δέ, ὡς ἐδόκουν, τοῖς ὄφεσιν.

504. Ὥςπερ ἐς Τροφωνίου] Ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος, ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν, καὶ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι καθέζονται ἐπὶ τοῦ στόματος γυμνοί, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων, καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετά, βαστάζουσι πλακοῦντά τινα, καὶ ῥίπτουσιν ἐπὶ τῷ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν δι' ἄλλου *) στόματος ἀναῤῥιπτοῦνται. ℨ Ἄλλως.

---

*) Aberat articulus.

**) Scriptum est γυμνασθέντα τοῦτο.

***) Delevi διὸ καί, quod scriptum est ante ἠδίκηκά τι.

†) Ernestius volebat δι' αὐτοῦ, (certe διὰ τοῦ αὐτοῦ,) quod sic Pausanias, qui ipse oraculum Trophonii adiit, IX. 39. At contra Philostratus Vit. Apollon. VIII. 19. ἀναδίδωσι δ' ἡ γῆ τοὺς μὲν οὐ πόῤῥω, τοὺς δὲ ποῤῥωτάτω. καὶ γὰρ ὑπὲρ Λοκροὺς ἀναπέμπονται, καὶ ὑπὲρ Φωκέας, οἱ δὲ πλεῖστοι περὶ τὰ Βοιωτῶν ὅρια. Vide ibi Olearium.

Οὕτως ὁ Χάραξ. Ἀγαμήδης ἄρχων Στυμφάλου *) τῆς Ἀρκαδίας, ἐγάμει Ἐπικάστην, ἧς παῖς ἦν Τροφώνιος σκότιος. οὗτοι τοὺς τότε ὑπερεβάλλοντο πάντας εὐτεχνίᾳ, τόν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἐργολάβησαν· ἐν Ἤλιδι δὲ ταμιεῖον χρυσοῦν κατεσκεύασαν Αὐγείᾳ· ᾧ καταλείψαντες ἁρμὸν λίθου, νυκτὸς εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκύωνι, ὃς ἦν γνήσιος Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν Αὐγείας, ἐπιδημήσαντα Δαίδαλον αὐτόσε **) κατὰ φυγὴν Μίνωος ἐλιτάνευσεν ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν. αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωρισθῆναι, ἅμα Κερκύωνι φεύγει εἰς τὸν Ὀρχομενόν. Αὐγείου δὲ κατὰ κέλευσιν Δαιδάλου ὑπὲρ τῆς τῶν αἱμάτων ἐκτίσεως ***) ἐπιδιώκοντος, καταφεύγουσιν, ὁ μὲν Κερκύων εἰς Ἀθήνας· ὡς Καλλίμαχος (fragm. CXLIII.),

ὃς ῥ' ἔφυγεν μὲν
Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων.

ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῶν Βοιωτῶν, οὗ κατορυχὴν ποιησάμενος οἴκησιν διετέλει. τελευτήσαντι δὲ αὐτῷ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ υἱὸν Ἄλκανδρον. 𝔍 Ἄλλως. Ἐν μὲν τοῖς παλαιοῖς ἀντιγράφοις οὕτως εὗρον. πρῶτον μέν, ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ †) Ἀπόλλωνος καὶ Ἐπικάστης· οἳ δὲ Διὸς καὶ Ἰοκάστης· οἳ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ δὲ ††) κεκλοφότες ἑάλωσαν· καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ, καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἳ δὲ ἀγνοοῦντες, ὅπη εἴη τὸ μνῆμα, σμήνει μελισσῶν προσέτυχον †††) ἐξ ὑποῤῥωγός τινος ἀνιουσῶν· καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον, ἔκριναν ἐκεῖσε δεῖν τινὰ κατελθεῖν θεασόμενον· ὃς εὑρὼν δύο δράκοντας, προσήγαγε μελιτούττας καὶ οὐκ ἠδικήθη. ἐξ

---

*) Legebatur Στυμφέλου.

**) Legebatur ὑπὲρ τὴν τῶν αἱμάτων ἔκτοσε. Postremam vocem Portus mutavit in ἔκλυσιν.

***) Aldus ἔκχυσιν.

†) Sic Aldus. Vulgo υἱόν Harlesius οἱ μὲν Ἀγαμήδην υἱὸν legendum putabat.

††) Aberat δέ.

†††) D. Heinsius περιέτυχον.

ὅλον καὶ μέρος, διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους † *).

513. ✠ Ἐπασκεῖ. παιδεύεται. Gloss. Vict.

514. Ὦ θεώμενοι] Ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰςάγει δὲ τὸ ἑαυτοῦ πρόςωπον ὁ ποιητής. παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή, ἀντίστροφος, ἐπίῤῥημα, ἀντεπίῤῥημα. συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα. ἡ γὰρ στροφὴ ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον· καὶ τὸ ἐπίῤῥημα ὡςαύτως τὸ ἀντεπίῤῥημα· τινὲς δὲ προςτιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη, τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις. ἑπτὰ δὲ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιῤῥήματος, ἂν μηδὲν ἀποδιδῶται. ἐὰν δὲ ἐνῇ **) τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους, καὶ τὸ ἀντεπίῤῥημα, ἐπὶ τοῦ ἐπιῤῥήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι, ὅτι ἔστι τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιῤῥήματος, ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ· ἡ μὲν καταρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν, ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον, στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν μέ, ὧν τελευταῖος,

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαϊκὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τρο-

*) Exstat hoc scholion etiam in Victorianis.

**) Legebatur ᾖ. Scripsi ἐνῇ ex Hephaestione. Nam quae inde a v. ἑπτὰ δὲ ὄντων, pro quibus Ald. ἑπτὰ δὴ ὄντων, leguntur, e fragmento Hephaestionis p. 75. ducta sunt, quod emendatius e cod. S. Marci edidit Villoisonus in prolegom. ad Iliadem p. 59. seq. Ibi pro ἐνῇ scriptum ἔνι.

χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα, ἢ βακχεῖον, διὰ τὸ ἀδιάφορον, Ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον, ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικὴν ὑπερκατάληκτον. ✠ Τὸ συστηματικὸν τόδε ἐκ κώλων συνίσταται η΄. τὸ α΄, χοριαμβικὸν δίμετρον ἐκ χοριάμβου, σπονδείου, καὶ ἀμφιμάκρου; τὸ β΄, δακτυλικὸν μονόμετρον. τὸ γ΄, χοριαμβικὸν μονόμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ δ΄, ὅμοιον τῷ γ΄. τὸ ε΄, ἐκ β΄ χοριάμβων. τὸ ς΄, ἐκ διϊάμβου, χοριάμβου, καὶ συλλαβῆς. τὸ ζ΄, ἐκ χοριάμβου καὶ ἀμφιμάκρου· τὸ η΄, ἐκ χοριάμβου καὶ βακχείου. εἶτα ἡ παράβασις ἐκ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν μς΄ συνισταμένη, ὧν τελευταῖος,

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

λέγεται δὲ τροχαϊκὸν τοῦτο τὸ μέτρον, οὐχ ὅτι μόνον τροχαίους ἔχει, ἀλλ' ἐκ τοῦ πλεονάζοντος καὶ μάλισθ' ὅτι ἐκ παντὸς τὸν ζ΄ πόδα τὸν πρὸ τῆς καταληκτικῆς συλλαβῆς τροχαῖον ἔχει. παράβασις δὲ λέγεται τοῦτο τὸ σύστημα, ὅτι οἱ ποιηταὶ ὡς ἐκ στόματός τοῦ χοροῦ ἐξέφαινον πρὸς τοὺς θεατὰς ἃ ἐβούλοντο γενέσθαι αὐτοῖς, ὡς οἰκείοις προςώποις τοῖς χοροῖς κεχρημένοι· ὅπερ καὶ νῦν οὗτος ποιεῖ δι' αἰτίαν τοιαύτην. νόμος ἦν Ἀθηναίοις μήπω τινὰ ἐτῶν λ΄ γεγονότα μήτε δρᾶμα ἀναγινώσκειν ἐν θεάτρῳ, μήτε δημηγορεῖν. τούτῳ τῷ νόμῳ καὶ ὁ κωμικὸς οὗτος εἰργόμενος πρότερον διὰ τὸ μὴ τριακονταετὴς ἔτι ὑπάρχειν, ποιῶν δράματα διὰ *) Φιλωνίδου καὶ Καλλιστράτου ἀνεγίνωσκεν εἰς τὸ θέατρον, ὧν ἓν ἦν τὸ τῶν Δαιταλέων λεγόμενον, ἐν ᾧ δύο εἰςήγαγε μειράκια διαλεγόμενα, σῶφρον τε καὶ αἰσχρόν. καὶ πολλοῖς τῶν θεατῶν ἐπῃνέθη, οὐ μέντοι καὶ νενίκηκεν ἐν τούτῳ ὁ ποιητής. ἐπιβὰς δὲ ἤδη τοῦ λ΄ ἔτους, καὶ τοῦτο δὴ τὸ τῶν Νεφελῶν ποιήσας, δι' ἑαυτοῦ διδάσκει, καὶ αἰτεῖ παρὰ τῶν θεατῶν ἃ δεῖ γενέσθαι αὐτῷ, ἤτοι τὸ νικῆσαι τῷ δράματι. Schol. Vict. Ἴθι. πορεύου, ἐλθέ. Gloss. Vict.

512. † Χρωτίζεται] Ἀντὶ τοῦ χρωματίζεται. αὐτὸς δὲ ὁ χρωματισμὸς εἰς πρόςωπον γίνεται. αὐτὸς γὰρ κατὰ νοῦν ἐχρωματίζετο, διὰ τοῦτο ἐπήγαγε, τὴν αὐτοῦ φύσιν, ἵν' ᾖ

---

*) Editum καὶ pro διά. Non fecit huius scholii mentionem Dindorfius in fragmentis Aristophanis p. 39. 40.

ὅλον καὶ μέρος, διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου, διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους † *).

513. ✠ Ἐπασκεῖ. παιδεύεται. Gloss. Vict.

514. Ὦ θεώμενοι] Ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰςάγει δὲ τὸ ἑαυτοῦ πρόςωπον ὁ ποιητής. παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβάς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεων ἑπτά· ἁπλᾶ μὲν τρία, κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται· πνῖγος, ὃ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή, ἀντίστροφος, ἐπίῤῥημα, ἀντεπίῤῥημα. συνεμπίπτουσι γὰρ ἀλλήλοις κατὰ τὸ μέτρον καὶ τὰ κῶλα. ἡ γὰρ στροφὴ ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον· καὶ τὸ ἐπίῤῥημα ὡςαύτως τὸ ἀντεπίῤῥημα· τινὲς δὲ προςτιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη, τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις. ἑπτὰ δὲ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιῤῥήματος, ἂν μηδὲν ἀποδιδῶται. ἐὰν δὲ ἐνῇ **) τὰ ἀνακυκλούμενα, τό τε ἀντίστροφον τοῦ μέλους, καὶ τὸ ἀντεπίῤῥημα, ἐπὶ τοῦ ἐπιῤῥήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ ὑπὲρ τοῦ δηλῶσαι, ὅτι ἔστι τὰ ἀνταποδιδόμενα· ἐπὶ δὲ τοῦ ἀντεπιῤῥήματος, ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ· ἡ μὲν καταρχάς, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν, ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον, στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν μέ, ὧν τελευταῖος,

ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

τὸ δὲ τροχαϊκὸν μέτρον κατὰ πᾶσαν μὲν χώραν δέχεται τρο-

---

*) Exstat hoc scholion etiam in Victorianis.

**) Legebatur ᾖ. Scripsi ἐνῇ ex Hephaestione. Nam quae inde a v. ἑπτὰ δὲ ὄντων, pro quibus Ald. ἑπτὰ δὴ ὄντων, leguntur, e fragmento Hephaestionis p. 75. ducta sunt, quod emendatius e cod. S. Marci edidit Villoisonus in prolegom. ad Iliadem p. 59. seq. Ibi pro ἐνῇ scriptum ἔνι.

μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων † *).

530. *Νῦν οὖν Ἠλέκτραν*] *Αἰσχύλος* ἐποίησε δρᾶμα Χοηφόρους· ἐν ᾧ Ἠλέκτρα παραγινομένη εἰς τὸν τάφον τοῦ πατρός, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. § *Αὕτη*, φησίν, ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης (ὡς ἐν τοῖς Χοηφόροις *Αἰσχύλου* Ἠλέκτρα, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐπιγνοῦσα παραγενόμενον **) πρὸς τὸν τάφον, ὅπως αὐτὸν γνωρίσῃ, ἦλθεν) εἰς ζήτησιν ἦλθε τῶν τότε θεατῶν. ἐπιγνώσεται γάρ, ἐάν τι ξύμβολον ἴδῃ ἐκείνων. † Ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρί, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου· εἰ καὶ *Σοφοκλῆς* τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητής, ὅτι, εἰ ἐπαινεθήσεται παρ' ὑμῶν ἡ νῦν κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες †.

531. ✠ *Θεαταῖς οὕτω σοφοῖς*. ἤγουν καθὼς εἰς τὸ δρᾶμα ἐκεῖνον ἐφάνητε. Gloss. Vict.

532. *Τἀδελφοῦ τὸν βόστρυχον*] Ὅ ἐστι, σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται, ἐὰν ἴδῃ.

534. *Οὐδὲν ἦλθε*] Παρέλκει τὸ δεν· ὡς καὶ παρ' Ὁμήρῳ· *οὐδὲν ἔτισε*. θέλει δὲ εἰπεῖν, οὐκ ἦλθε συνήθως.

Σκύτινον] Διεζωσμένοι γὰρ δερμάτινα αἰδοῖα οἱ κωμικοὶ εἰςῄεσαν τοῦ γέλωτος χάριν. θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. ✠ Δερμάτινον ἱμάτιον μακρόν, καθὼς τινες ἕτεροι κωμικοὶ ποιοῦσιν. Gloss. Vict.

535. *Ἐρυθρόν*] Ἢ ἐρυθρὸν ἐξ ἄκρου. ἢ ἐξ ἄκρου παχύ. ταῦτα γὰρ οἱ κωμικοὶ εἰςῆγον διὰ γέλωτα. ✠ *Ἵν' ᾖ γέλως*. Τοῦτο φησὶ διὰ τὸν Ἕρμιππον καὶ τὸν Σιμέρμωνα τὸν τούτου ὑποκριτήν. Schol. MS.

536. *Τοὺς φαλακρούς*] *Εὔπολις*·

τοὺς Ἱππέας
συνεποίησα τῷ φαλακρῷ τούτῳ, κἀδωρησάμην ***).

---

*) Exstat hoc scholion etiam in Victorianis.

**) Legebatur καὶ παραγενόμενον, correctum ab Reizio.

***) Legebatur: *Εὔπολις*,
ἔσκωψα τοὺς φαλακρούς, τοῦτο δ' ἐδωρησάμην.

Οὐ κόρδαχ' εἵλκυσε] Ἔστι δὲ ὀρχήσεως κωμικῆς εἶδος ἀσχήμονος. εἰσὶ δὲ τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν, τραγική· σικιννὶς δέ, σατυρική· κόρδαξ δέ, κωμική, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφὺν *). ✠ *Κόρδακα* τὸ λεγόμενον ἰδιωτικῶς καριδᾶν λέγει. τὸ δὲ *εἵλκυσεν* ἀντὶ τοῦ ἐν τῷ θεάτρῳ **) εἰςήγαγε νόει. Schol. MS. *Κόρδαχ' εἵλκυσεν*. ἀσεμνῶς ὠρχήσατο. Gloss. Vict. *Τρία εἴδη ὀρχήσεως*, ὡς καὶ *Ἡσύχιος* ὁ ἰλλούστριός φησιν, ἐμμέλεια, κ. τ. λ. Schol. Cant. 2.

537. *Οὐδὲ πρεσβύτης ὁ λέγων*] Ὡς *Εὔπολις* ἐν τοῖς Προςπαλτίοις ***). ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν *Ἕρμιππον*. οἱ δὲ Σιμέρμωνα τὸν ὑποκριτήν †). καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. τὸ δὲ *ἀφανίζων*, ὅ ἐστιν ἐκτοπίσας, καὶ ἀποφυγὼν τὰ σκώμματα, δι' ὧν ἔδει σωφρονίζειν τοὺς κακῶς πράττοντας. ἐκτὸς ἑαυτοῦ ποιῶν τὰ πονηρὰ σκώμματα, ἢ τὸ *ἀφανίζων*, ἀντὶ τοῦ ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι, τὰς εἰκῇ διεσκεμμένας αὐτοῦ κωμῳδίας, καὶ εὐτελῶς πεπλασμένας. ἰστέον δέ, ὅτι πάντα ὅσα ἂν λέγῃ εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰςήγαγεν ἐν τῇ *Λυσιστράτῃ*· τὸν δὲ κόρδακα ἐν τοῖς *Σφηξί*· τοὺς δὲ φαλακροὺς ἐν *Εἰρήνῃ*· τὸν δὲ πρεσβύτην ἐν *Ὄρνισι*· τὰς δὲ δᾷδας καὶ τὸ *ἰοὺ ἰοὺ* ἐν *Νεφέλαις* τοπρῶτον. ✠ Τοῦτο φησὶ διὰ τὸν

Prima verba manifesto sunt Aristophanis, eaque ipsa, quae interpretari volebat scholiastes. Quare locum Eupolidis e scholio ad v. 550. emendavimus. Nam Aldus et illic et hic pro ἰδωρησάμην habet ἀδωρησάμην. Metrum autem Eupolideum est, quo haec ipsa Aristophanis scripta est parabasis.

*) Plenius hoc scholion editum ex libro Ravennate. Vulgo his verbis incipit, τρία εἴδη, et deinde sic scriptum est, σικυνίς, σατυρική· κόρδαξ, κωμική. Vtrubique Ravennas δὲ addit, in quo scriptum σικυννίς, et τραγικῆς, σατυρικῆς, κωμικῆς: postrema autem, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφύν, omittit.

**) Apud Brunckium in duobus codd., quorum in altero ἐσώτερον et καρυδᾶν, in altero καριδάν. Vide addenda notarum eius p. 202.

***) Legebatur Προςπαταλίοις. Vide Casaubonum in animadv. ad Athen. VII. 22.

†) Quae sequuntur, legebantur ad v. 538. Pro Σιμέρμωνα scriptum erat Σισέρμιον, quod mutavi e scholio MS. quod infra legitur.

Ἕρμιππον, καὶ τὸν Σιμέρμωνα, τὸν τούτου ὑποκριτήν *). Schol. MS. Ὁ Σιμέρμων **). Gloss. Cant. 3. Σιμέρμων ***) τις ἕτερος κωμικὸς ἔν τινι αὐτοῦ δράματι εἰςῆξε πρεσβύτην τινὰ βακτηρίαν κρατοῦντα, κ. τ. λ. Schol. Cant. 3.

539. Οὐδ' εἰςῆξε δᾷδας] Οὐκ ἔστι δῆλος, τίνι παρονειδίζει· ἀλλ' ἴσως ἑαυτῷ, ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους, καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰού. ἐν δὲ ταῖς πρώταις Νεφέλαις τοῦτο οὐ πεποίηκε. ποιήσει δὲ αὐτὸ μετὰ λόγου· οὗτοι δὲ ἀκαίρως.

540. Ἀλλ' αὐτῇ] Τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ, καὶ τῇ χάριτι τῶν ἐπῶν θαῤῥοῦσα. ✠ Ἐλήλυθεν. εἰς τὸ θέατρον. Gloss. Vict.

541. Οὐ κομῶ] Οὐ σεμνύνομαι. χαριέντως δὲ λέγει, ἐπεὶ φαλακρὸς ἦν. ✠ Ἐπαίρομαι. Gloss. Vict.

542. Δὶς καὶ τρὶς] Καί τοι καὶ αὕτη δεύτερον εἰςήχθη. ἀλλ' ἴσως διαφόρως. δοκοῦσι δὲ καὶ οἱ ἄλλοι κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων τὰ αὐτὰ εἰςάγειν δράματα.

543. ✠ Καινάς· νέας. Σοφίζομαι. σοφὸς φαίνομαι, ἢ μηχανῶμαι. Gloss. Vict.

545. Ὃς μέγιστον ὄντα] Ὥςπερ ζῶντος αὐτοῦ διαλέγεται, ἐν οἷς φησί, Κλέωνα τὸν λάρον. (v. 587.) καὶ Ἀνδροτίων δέ φησιν αὐτὸν ἐπὶ Ἀλκαίου τεθνάναι, δυσὶν ἔτεσιν ὕστερον Ἰσάρχου, ἐφ' οὗ †) αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικοῦ μεμνῆσθαι, ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν, ὡς καὶ νῦν αὐτός φησιν, ἐκεῖ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δευτέρων ††) Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι, εἰ Εὔπολις ἐπλάσατο τὴν Κλέωνος τελευτὴν ἐν Μαρικᾷ. ϑ Κλέων ἀποθνήσκει ἐπὶ Ἀμεινίου †††). πρὸ τούτου δὲ Ἴσαρχος, ἐφ' οὗ αἱ Νεφέλαι εἰςήχθησαν. ὁ μέντοι

---

*) Brunckius hoc scholion affert ad illa v. 535 ἵν' ἢ γέλως.

**) Cod. Σιμέρμνων.

***) Cod. Σιμέρμνω.

†) Plena interpunctione post ὕστερον facta legebatur Ἴσαρχος δέ φησιν, ἀφ' οὗ. Correxit Kusterus e sequente scholio. Caeterum conf. Clinton. in Fast. Att. p. 68.

††) Legebatur τῶν δύο Νεφελῶν. Emendavit Elmsleius in Diar. class. fasc. XI. p. 136. monens scriptum fuisse τῶν β' Νεφελῶν.

†††) Legebatur Ἀμινίου, et mox Ἀμινίαν.

Ἀνδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμεινίαν τὸν Κλέωνα δυσὶν ὕστερον ἔτεσι τεθνάναι τῆς τῶν Νεφελῶν διδασκαλίας. εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης, οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς· (v. 587.)

*ἢν Κλέωνα τὸν λάρον δώρων**).

Ἔπαισ' ἐς τὴν γαστέρα] Ἔτυψα. ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς *Ἱππέας*. ἔτυψα ἐν τοῖς *Ἱππεῦσιν*. ✠ Ἔτυψα, ἢ ὅτι γαστρίμαργος ἦν, ἢ διὰ τὸ σφετερίζεσθαι πολλὰ τῶν κοινῶν. Gloss. Vict.

546. *Κοὐκ ἐτόλμησ' αὖτις*] Ἀντὶ τοῦ ἠρκέσθην τῇ πρώτῃ κωμῳδίᾳ. ✠ *Ἐπεμπήδησα*. δεύτερον ἐκωμῴδησα. Gloss. Vict.

547. *Λαβήν*. ἀφορμὴν μέμψεως. Gloss. Vict.

548. *Κολετρᾶσ' ἀεί*] Κατὰ τοῦ κόλου τύπτουσιν. ἢ καταπατοῦσιν. ἀπὸ τῶν τὰς ἐλαίας πατούντων, ὃ δὴ λέγουσι κολετρᾶν**). ἢ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ, καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. ✠ Ὑβρίζουσιν. Glossa. Ὅ φασιν ἰδιωτικῶς κλοτζοκοποῦσι***). Gloss. MS. C.

Καὶ τὴν μητέρα] Τὴν Ὑπερβόλου, τὴν δοκοῦσαν†). ἐν ταῖς Ἀρτοπώλισι πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος. ✠ *Μητέρα*. ἀρτοπώλιδα. Gloss. Vict.

549. *Παρείλκυσεν*] Εἰς τὸ θέατρον εἰσήγαγεν. Glossa. Δῆλον δέ, ὅτι πρότερος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων

---

*) Hoc scholion legebatur ad v. 548. post illud scholion, quod ad v. 550. retulimus. De re ipsa vide Spanhem. p. 272. Corsinum in Fastis Atticis T. III. p. 240. seq. scholiasten Luciani T. I. p. 144. qui Cleonem Aminia archonte interiisse tradit. Sed Hemsterhusius ibi ex Diodoro XII. qui valde dissentit a Thucydide V. 10. et Wesselingius ad Diodorum p. 530. probant Androtionis sententiam, qua Cleo Olymp. LXXXIX. 3. Alcaeo archonte mortuus perhibetur.

**) Verba ὃ δὴ λέγουσι κολετρᾶν, (editum κοκέτρειν) e Victorianis accessere.

***) In Brunckii cod. τζαλαπατοῦσι. In quarto Reg. κλοτζοκουποῦσιν.

†) Legebatur, τὴν δοκοῦσαν ἐν ταῖς Ἀρτοπώλισι. πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος. Hemsterhusius ad Plutum p. 379. frustra fore ratus, qui sola distinctione opem ferre vulgatae scripturae vellet, legendum putat, τὴν δοιδυκοῦσαν vel δοιδυκίζουσαν ἐν ταῖς Ἀρτοπώλισιν, ἵνα πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος.

Νεφελῶν. Ἐρατοσθένης δέ φησι, Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου, ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν· ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν, ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις (v. 377.) λέγεται εἰς τὸν θεοῖσιν ἐχθρόν, τὸν βυρσοδέψην *).

550. Ἐκστρέψας] Πάντα τὰ ἐμά, φησίν, ἔλαβεν. Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησίν, ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δέ,

κἀκείνους τοὺς Ἱππέας
συνεποίησα τῷ φαλακρῷ τούτῳ, κἀδωρησάμην**).

551. Γραῦν μεθύσην. τὴν μητέρα Ὑπερβόλου. Ἦν. γραῦν. Gloss. Vict.

552. Φρύνιχος] Φέρεται Ὑπεύθυνος ***) Φρυνίχου. μήποτε οὖν, ἐκείνην φράζων ὡς γραῦν ἐκκειμένην τῷ κήτει, καὶ ἴσως ἐν ὑπερβολῇ ἂν λέγοι, αὐτὸς ὅτι τὸ κῆτος †).

---

*) Quae hinc sequebantur vide ad v. 550.

**) Verba Εὔπολις, et quae sequuntur, ad v. 548. legebantur post illa, τὸν βυρσοδέψην, quae nunc ad v. 549. relata sunt. Ἀριστοφάνει correxit Kusterus pro Ἀριστοφάνης. Deinde legebatur, φησὶ δὲ κἀκεῖνος, τοὺς Ἱππέας συνεποίησα τῷ φαλακρῷ ἐδωρησάμην. Aldina ἀδωρησάμην, ut ad v. 536. e quo scholio postrema verba emendavimus. Caeterum vide Süvernii diss. de Nubibus p. 36.

***) Ὑπεύθυνος littera maiore scripsimus. Videtur enim fabulae nomen esse. Alioquin haec intelligi nequeunt. Convelli hoc argumentum eo, quod hoc nomen non est in decem fabulis, quas scripsisse Phrynichum accepimus, censet Meinekius in Specim. secundo Quaestt. scen. p. 8. Non ego quidem Phrynicho vindicem Ὑπεύθυνον fabulam: sed quidni scholiastes, cuius aperta videtur sententia esse, aut ipse errare, aut ab alio in errorem coniici potuit? Andromedae quum hic mentionem faciat scholiastes, memorabile est Phrynichi tragici eo nomine fabulam fuisse.

†) Post κήτει punctum erat. Deinde legebatur, καὶ ἴσως ἐν Ὑπερβόλῳ ἂν λέγοι αὐτός, ὅτι τὸ κῆτος ἤσθιεν. Ἄλλως. Εἰσῆγε etc. Videndum est, inquit scholiastes, ne poeta, fabulam Phrynichi

Ἤσθιεν] Εἰςῆγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην, κατὰ μίμησιν Ἀνδρομέδας, διὰ γέλωτα τῶν θεατῶν. ἦν δὲ καὶ αὐτὸς κωμῳδίας ποιητής.

553. *Εἶθ' Ἕρμιππος*] Ἕρμιππος μὲν δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὸ εἰς τὰς*) Ἀρτοπώλιδας λεχθὲν κατ' αὐτοῦ σημαίνειν.

554. ✠ *Ἐρείδουσιν*. ἑδραιοῦσι τὰς ἑαυτῶν κωμῳδίας. Gloss. Vict.

555. *Τῶν ἐγχέλεων*] Ἀντὶ τοῦ λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη· παρόσον ἐν τοῖς Ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων· (v. 864.)

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας**). τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησὶν εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης. ✠ *Ἐγχέλεων*. δρᾶμα οὕτω καλούμενον. Gloss. Vict. Ἐν τῷ τῶν Ἐγχέλεων δράματί φησιν ὁ Ἀριστοφάνης, ὅτι οἱ βουλόμενοι θηρεῦσαι ἐγχέλεις, εἰ μὴ ταράξωσι τὸ ὕδωρ, αὐτὰς οὐκ ἰσχύουσιν. Schol. Vict.

556. *Τούτοις γελᾷ*] Οἷον, εἴ τις ἐκείνοις τέρπεται, καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προςίτω. ✠ *Ἥδεται*. Gloss. Vict.

557. *Εὑρήμασι*. νοήμασι καὶ ποιήμασι. Gloss. Vict.

558. *Εὖ φρονεῖν*] Παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ἐλεύσεσθε, ἐπήνεγκεν, ὅτι φρόνιμοι δόξετε εἶναι, καὶ εὔνοοι***), καὶ εὐφρονοῦντές μοι, διὸ ἐπισημειοῦσθαι τὴν λέξιν ἔδει τῷ †) χ. ✠ *Ἐς τὰς ὥρας τὰς ἑτέρας*. εἰς τοὺς μετὰ ταῦτα ἐνιαυτούς. Gloss. Vict.

559. *Ὑψιμέδοντα μὲν*] Τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς

---

tamquam vetulam pistrici obiectam dicens, etiam per hyperbolen significet, ipsum Eupolidem pistricem esse. *Ἤσθιεν* non scholiastae, sed Aristophanis verbum est, in quo interpretando occupatur sequens scholion. *Ὑπερβολὴν* et *Ὑπέρβολον* etiam permutata in scholiaste Luciani T. I. p. 143.

*) *Εἰς τὰς* scripsi pro *πλείστας*. Hemsterhusius ad Plutum p. 379. *κατὰ τάς*.

**) Legebatur *πεπόνθασι*.

***) Legebatur *εὔνομοι*. Correxit Ruhnkenius.

†) Legebatur *τό*.

τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν, ἐπὶ τὸ ᾄδειν*) εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ'. ὧν τὸ πρῶτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐπιμεμιγμένον διϊάμβῳ. τὸ β', ὅμοιον. τὸ τρίτον, δίμετρον καταληκτικόν, ἐπιμεμιγμένον βακχείῳ, ὃ καλεῖται ἑφθημιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον, τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον, τρίμετρον ἐκ διϊάμβου, χοριάμβου**) καὶ βακχείου. τὸ ἕβδομον, δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον, δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον, δίμετρον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον, ὅμοιον, ἐκ δισπονδείου καὶ χοριάμβου, ἢ δακτυλικὸν ἑφθημιμερές, τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον, ἀντισπαστικὸν***) δίμετρον ἀκατάληκτον, τὸ καλούμενον Γλυκώνειον, ἐκ διτροχαίου καὶ διϊάμβου. ὡς ἔχει τὰ Γλύκωνος·

κάπρος ἡνίχ' ὁ μαινόλης
Κυπρίδος θάλος†) ὤλεσε.

τὸ δυοκαιδέκατον, ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον Φερεκράτειον ἑφθημιμερές, ἐξ ἐπιτρίτου καὶ βακχείου, ὡς ἔχει τὰ Φερεκράτους·

ἄνδρες πρόσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ,
συμπτύκτοις††) ἀναπαίστοις.

καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος, † καὶ διπλῆ ἔσω νενευκυῖα † δηλοῦσα ἔχειν ἀνταπόδοσιν. ❖ Ὕμνος εἰς τοὺς θεοὺς ἀπὸ χοροῦ. Schol. Vict.

560. Ζῆνα] Τὸν Δία ἐπικαλοῦνται, ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον, ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν Νεφέλαι τοῦτον ἐπικαλοῦνται. ❖ Ζῆνα. τὸν Δία. Χορόν. ἤτοι εἰς ἡμᾶς ἐλθεῖν. Gloss. Vict.

---

*) Absunt verba ἐπὶ τὸ ᾄδειν.
**) Legebatur χοριαμβικοῦ.
***) Hoc vocabulum omiserat Kusterus.
†) Legebatur θάλλος. Veram lectionem habet Hephaestio p. 33.
††) Legebatur συμπτύστοις. Mutatum ex Hephaestione p. 33.

561. ✠ Κικλήσκω. ἀπὸ τοῦ κλῶ τοῦ σημαίνοντος τὸ κλῶ γέγονε κλήσω ὁ μέλλων, καὶ πλεονασμῷ τοῦ κ καὶ ἀναδιπλασιασμῷ κικλήσκω, ὡς τρώσω τιτρώσκω. Gloss. Vict.

562. Τόν τε μεγασθενῆ] Ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι. μέτα δέ, τὸν Ποσειδῶνα ὑμνεῖν. καὶ αὐτὸς δὲ τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλοῖ.

Ταμίαν] ✠ Ἤγουν φύλακα. τὸν Ποσειδῶνα φησίν, ὅς τούς τε σεισμοὺς καὶ τὰς ἐν θαλάσσῃ τρικυμίας ποιεῖ· τὰς μέν, ὡς κύριος ὢν τῶν ἀνέμων, σείει δὲ τὴν γῆν διὰ τῶν αὐτῶν τούτων ἀνέμων, εἰσιόντων εἰς τοὺς ἀδήλους πόρους αὐτῆς. Schol. MS.

563. Γῆς τε καὶ ἁλμυρᾶς] Δοκεῖ γὰρ Ποσειδῶν οὐ μόνον θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτάς, ὡς δεσπόζων ὑγρᾶς οὐσίας. εἰκότως οὖν τῶν θεῶν τούτων ἐμνημόνευσε· τοῦ μὲν Διός, ὅτι γενάρχης*)· τοῦ δὲ Ποσειδῶνος, ὅτι τῶν ὑγρῶν δεσπότης· Ἀέρος δέ, ὅτι πατήρ· Ἡλίου δέ, ἐπεὶ διάπυρος ὤν, τὴν ἰκμάδα ἐπισπώμενος**) ἐργάζεται νεφέλην.

564. ✠ Ἄγριον. ἰσχυρότατον. Μοχλευτήν. κινητήν. Gloss. Vict.

565. ✠ Μεγαλώνυμον. μεγαλόδοξον. Πατέρα. ἐν αὐτῷ γὰρ αἱ νεφέλαι συνίστανται. Gloss. Vict.

566. Αἰθέρα] Ἀντὶ τοῦ ἀέρα· ὁ γὰρ αἰθὴρ διακαὴς ὤν, ἀνωφελός ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον, ὅτι ἀήρ, οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. βιοθρέμμονα δέ, ἐπειδὴ ἀρδεύει τὴν γῆν. ✠ Τὸν βίου καὶ ζωῆς θρεπτικόν. Gloss. Vict.

567. Τόν θ' ἱππονώμαν] Τὸν ἥλιον, τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα, καὶ τοὺς ἵππους ἡνιοχοῦντα. ἐξ αὐτοῦ δοκοῦσι συνεστάναι. διάπυρος γὰρ ὤν, ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι. ✠ Τὸν ἵππους νωμοῦντα ἥλιον. Gloss. quarti Reg. Τὸν ἥλιον τὸν τοὺς ἵππους νωμοῦντα. Gloss. Vict.

569. ✠ Πέδον] ἔδαφος. Gloss. Vict.

571. Ὦ σοφώτατοι θεαταί] Τοῦτο ἐπίῤῥημα ὀνομά-

---

*) Ald. et Iunt. γεννάρχης.
**) Sic recte eaedem. Vulgo ἐπισπώμενον.

ζεται, διὰ τὸ ἐπιῤῥέπειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατὰς, καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς, ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος·

ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται.

ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

576. *Μηδενὶ ξὺν νῷ*] Σὺν μηδεμιᾷ κρίσει· μετ' οὐδενὸς νοῦ, ἀλλ' ἀσυμφόρως, καὶ ἀκαίρως, μετὰ μηδενὸς λογισμοῦ. οἷον προπετῶς. ἐκ τῶν πρώτων δὲ *Νεφελῶν* ἐστὶ ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων.

Βροντῶμεν ἢ ψεκάζομεν] Δῆλον ἐντεῦθεν ποιοῦσαι, ὡς οὐκ ἀποδεχόμεθα ταύτην, ὡς ἀλυσιτελῆ τῆς πόλεως. Glossa.

577. *Βυρσοδέψην*. σκυτοτόμον, τὸν τὰς βύρσας θεραπεύοντα καὶ μαλάσσοντα καὶ ἐμβρέχοντα. Gloss. Vict.

578. *Τὰς ὀφρῦς συνήγομεν*] Συννέφειαν ἐποιήσαμεν, καὶ ἐχαλεπήναμεν, ἢ ἐστυγνάσαμεν. § Ἄλλως. Ἐπεὶ ὁ Κλέων τοιοῦτος*). εἶπε δὲ ἀνωτέρω, ὅτι πάντας μιμοῦνται.

579. *Βροντὴ δ' ἐῤῥάγη*] Παρὰ τὰ ἐκ *Τεύκρου***) Σοφοκλέους·

οὐρανοῦ δ' ἄπο
ἤστραψε, βροντὴ δ' ἐῤῥάγη δι' ἀστραπῆς.

580. *Ἡ Σελήνη δ' ἐξέλιπεν*] Ἐπειδὴ ἔκλειψις ἐγένετο σελήνης τῷ προτέρῳ ἔτει ἐπὶ Στρατοκλέους βοηδρομιῶνι***).

581. *Τὴν θρυαλλίδα*] Τὴν ἀκτῖνα εἰς ἑαυτὸν συστείλας. ἀπὸ τοῦ λύχνου δὲ ἡ μεταφορά. οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσει Κλέων. οἷον παρ' Ὁμήρῳ· (Odyss. XII. 383.)

δύσομαι εἰς ἀΐδαο, καὶ ἐν νεκύεσσι φαείνω.

---

*) Vide schol. Luciani T. I. p. 144.

**) Sic tacite pro Τεύκρων Brunckius in fragm. Soph.

***) Male Harlesius scholiasten reprehendit, qui verba Aristophanis ad primam expeditionem Cleonis ad Pylum referat, ubi ille secunda fortuna usus est, non ad alteram expeditionem in Thraciam, ubi, afflictis Atheniensium rebus, periit. Nam sane de prima expeditione loquitur Aristophanes, qui haec et vivo Cleone scripsit, (vide schol. ad v. 587.) et proverbio usus est v. 583. quod aliter non modo nulla cum vi, sed prorsus inepte adhibuisset. Suidas: Ἀθηναίων δυςβουλία, ἐπὶ τῶν παρ' ἐλπίδας καὶ ἀναξίως εὐτυχούντων.

ἡλίου δὲ ἐγένετο κατά τινα τύχην ἔκλειψις Κλέωνος χειροτονουμένου.

583. Δυςβουλίαν] Τὴν οὐκ ὀρθῶς βουλήν. ἀποτυχόντα φασὶ Ποσειδῶνα τῆς χώρας, τὸ κακῶς βουλεύεσθαι ἐνσκῆψαι αὐτοῖς· τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευθὲν ἀποκλῖναι καλῶς*). καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. Εὔπολις·

ὦ πόλις, πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς**).

§ Ἄλλως. Φασίν, ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ***), δυςβουλίαν ἐπέβαλεν Ἀθηναίοις, Ἀθηνᾶν δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν.

585. Ἅττ' ἂν ὑμεῖς] Ὅσα Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε†) καὶ εἰς τὸ καλόν· αἰνίττεται δὲ εἰς Ἀθηνᾶν.

586. Ξυνοίσει] Λυσιτελήσει, ὠφελήσει. Glossa.

587. Τὸν λάρον] Ὅτι ὁ λάρος τοιοῦτος. καὶ ἐν Ἱππεῦσι· (v. 956.)

λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

ταῦτα δὲ ἀπὸ τῶν προτέρων Νεφελῶν. τότε γὰρ ἔζη ὁ Κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃς ††) ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. § Ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. δῆλον οὖν, ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα· καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον· ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν, πολλῷ †††).

---

*) Legebatur βουλεύεσθαι μὲν ἀποκλῖναι δὲ καλῶς. Correximus e Suida in Ἀθηναίων δυςβουλία.

**) Ita Eupolidis verba ex Athenaeo p. 425. emendata iam ab Ernestio. Legebatur ὡς εὐτυχεῖς μᾶλλον.

***) Kusterus τῆς Ἀθηνᾶς.

†) Ald. Iunt. ἀπέφαινε.

††) Legebatur ὃ.

†††) Haec ex Aldina emendavimus, in qua plane, ut edidimus, scriptum. Vulgo verba, καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον, ut

590. Ξυνοίσεται] Συνδραμεῖται. Glossa.

591. Ἀμφί μοι ἄναξ] Ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφὴ ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυραμβοποιῶν*) τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ Τερπάνδρου

ἀμφί μοι αὖτε ἄναχθ' ἑκαταβόλον ᾀδέτω
ἁ φρήν**).

λείπει δὲ τὸ ἔσο, ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον. καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν ἥλιον ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν ἥλιος καὶ Ἀπόλλων, δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥςπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον. ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιῤῥήματα. καὶ ἐνταῦθα οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥςπερ ἀναστρέφων ἐπὶ τὸ ἐξαρχῆς μέλος, ὅθενπερ ἐξετράπη εἰς τὸ ἐπίῤῥημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεούς, καὶ παραγενόμενος μέχρι τοῦ Ἡλίου***), ἐπήγαγε τὴν ἐκτροπήν, τουτέστι τὸ ἐπίῤῥημα, ἀπὸ τοῦ,

ὦ σοφώτατοι θεαταί.

οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος, οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπαναστρέφων ἐπὶ τὸν ὕμνον, τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθῃ, οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν ἂν ἄλλο τι†), ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω

---

parenthesis, uncis includebantur, ac deinde ἐν οἷς τε et κωμῳδιῶν πολλῶν legebatur.

*) Legebatur διθυράμβων. Emendatum ab Ernestio.

**) Legebatur, ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. Plenius Suidas in ἀμφιανακτίζειν: ἀμφί μοι αὐτὸν ἄναχθ' ἑκατηβόλον ᾀδέτω φρήν. Nomum Terpandri heroico carmine scriptum notavit Photius cod. 239. p. 985. laudatus iam Kustero et Ernestio, qui propterea articulum addendum monuit. Αὖτε autem pro αὐτὸν scribendum fuit. Sic Periander apud Suidam ibidem:

ἀμφί μοι αὖθις ἄνακτα.

et in Homerico hymno Solis, qui est XXXII.

ἥλιον ὑμνεῖν αὖτε, Διὸς τέκος, ἄρχεο, Μοῦσα.

***) Sic scribendum sine controversia. Legebatur ὅλου.

†) ἄλλο τι ex Ernestii sententia additum. Adieci ego ἄν.

φυλάττοιτο τόν θ' ἱππονώμαν, ὃς ὑπερλάμπροις ἀκτῖσι· καὶ τὰ ἑξῆς. ℌ Ἀμφί μοι αὖτε, Φοῖβ' ἄναξ. Φησὶν οὖν, ἀλλά σου πάλιν, ὦ Ἄπολλον, ἔξομαι, καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθών, θεοῦ τινὸς ἐμνημόνευσεν, ἀλλὰ μετὰ τὸν Ἥλιον εὐθὺς τὸν Ἀπόλλωνα εἶπεν *), ἐπεί τινες τὸν Ἥλιον τὸν αὐτὸν εἶναί φασι τῷ Ἀπόλλωνι. ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν, μετὰ τὸν Ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον. φανερὸν ποιεῖ αὐτός, λέγων, ἀμφί μοι αὖτε, Φοῖβ' ἄναξ, τουτέστι πάλιν. οὐδαμοῦ γὰρ οὖν **) τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι αὐτοῦ ***) αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο; τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίῤῥημα καὶ τὸ ἀντεπίῤῥημα. ℌ Τὸ δέ, ἀμφί μοι, ἐπῳδός ἐστι. τὸ αὐτὸ δὲ μέτρον τῷ μέλει τῷ πρώτῳ· καὶ ἑξῆς οὕτω †).

592. Κυνθίαν ἔχων] Περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄρος Δήλου ἡ Κύνθος. τὸ δὲ ὑψικέρατα πέτραν ἐστὶ ††) παραγώγως ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν, ἀντὶ τοῦ ὑψικέρατον.

594. Ἥτ' Ἐφέσου] Μετὰ τὸν Ἥλιον εὐθὺς ἡ Ἄρτεμις, ἧς ἡ Ἔφεσος. † Πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν· ὃς ἦν εἷς τῶν ἑπτὰ θεαμάτων † †††).

595. Ἐν ᾧ κόραι] Ἔνθα σε αἱ παρθένοι Λυδῶν τιμῶσιν, ὦ Ἄρτεμι. ὅτι τῆς Λυδίας τὸ παλαιὸν ἡ Ἔφεσος.

600. Σὺν πεύκαις] Μετὰ δᾴδων. παρὰ τὸ Εὐριπίδειον·

> Διόνυσος, ὃς πεύκαισι καὶ νεβρῶν δοραῖς
> καθαπτὸς ἐν πεύκαισι Παρνασσὸν κάτα

---

*) Aberat hoc verbum.

**) Legebatur νῦν.

***) Legebatur τοῦ. Emendatum ab Reizio.

†) Haec ad v. 592. sic legebantur: τὸ δὲ ὑψικέρατα πέτραν ἐπῳδός ἐστι, etc. Vidit vitium Ernestius.

††) Legebatur ἔστι δέ, quoniam male intrusa erant ea, quae scholiis ad superiorem versum adiecimus.

†††) Haec postrema sunt etiam in Victorianis.

πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν*).

Σελαγεῖ] Μετὰ λαμπάδων καὶ πυρὸς χορεύει. διάπυρος γὰρ ὁ θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς παρέλαβεν ὁ ποιητής.

601. Βάκχαις Δελφίσι] Ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος. ✠ Ἐμπρέπων. διαπρέπων. Gloss. Vict.

602. Κωμαστής] Ὅτι καὶ μεθύοντες βακχεύονται, καὶ ὥςπερ ἐκμαίνονται. ✠ Τρυφῶν μετ' ᾠδῆς. Gloss. Vict.

603. Ἡνίχ' ἡμεῖς] Τὸ ἀντεπίῤῥημα τοῦτο ὅμοιόν ἐστι τῷ ἐπιῤῥήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν· εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος, ἐξέλικεν (v. 580.). ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

604. Ξυντυχοῦσα] Οὐκ ἔστιν ἐνταῦθα τὸ συντυχοῦσα ἀντὶ τοῦ συναντήσασα, ὥς τινες οἴονται, συντάσσοντες πρὸς τοῦτο τὸ ἡμῖν· ἀλλὰ τὸ συντυχοῦσα λέγε ἀντὶ τοῦ κατὰ τύχην φανεῖσα καὶ εὑρεθεῖσα, συντάσσων τὸ ἡμῖν πρὸς τὸ ἐπέστειλεν. ἐντυγχάνει γὰρ τῷδε ὁ δεῖνα, λέγε· συντυγχάνει δέ, ἀντὶ τοῦ κατὰ τύχην συμβαίνει. καὶ Θουκυδίδης, οὕτω ποι ξυντυχόν, ἤτοι συμβάν. οἱ δὲ ἄλλως λέγοντες ἁμαρτάνουσιν. Schol. MS.

605. Πρῶτα μὲν χαίρειν] Τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα, χαίρειν προθεῖναι**)· ὅπερ γέγονεν ἐν χρήσει. Πλάτων μέντοι ἐν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν. οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. καὶ τό γε τριπλοῦν τρίγωνον τὸ δι' ἀλλήλων, τὸ πεντάγραμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὠνομάζετο***). ❡ Ἄλλως. Ἀρχαῖον ἦν ἔθος, προ-

---

*) Legebatur χορεύων σὺν παρθένοις. Emendatum e schol. ad Ran. 1244. ubi ipse Aristophanes hos versus affert. Sunt autem exordium Hypsipylae.

**) Sic Ernestius. Legebatur προςθεῖναι.

***) Luciani verba esse in libro pro lapsu inter salutandum c. 5. vol. I. p. 729. adnotavit Dindorfius.

τάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γάρ, ὥς τινες, Κλέων οὕτω*) πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.

610. ✠ Φῶς σεληναίης. Ἀττικῶν ἐστιν κτητικὰ λαμβάνειν ἀντὶ πρωτοτύπων, ὡς καὶ παρθενική, ἡ παρθένος. Schol. Vict.

611. Ἄλλα τ' εὖ δρᾶν] Καὶ εἰς ἄλλα φησὶν ἡμᾶς εὐεργετεῖν· οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας.

612. Κυδοιδοπᾶν] Συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ παρὰ τὸ κυκᾶν· ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν. ✠ Ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς. οὗτοι δέ, ὅτε ἔδει τῷ Διῒ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ ἔθυον. καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾶν. Schol. MS. Κυδοιδοπᾶν γίνεται ἀπὸ τοῦ κύδος ἀρσενικῶς, ὃ σημαίνει τὴν λοιδορίαν, καὶ τοῦ ὄψ, ὀπός, ἡ φωνή. γίνεται οὖν κυδοπᾶν Ἀττικῷ διπλασιασμῷ μετὰ τῆς τοῦ ι προσθήκης κυδοιδοπᾶν. κύδος γὰρ ἀρσενικῶς τὴν λοιδορίαν, ἐξ οὗ καὶ τὸ κυδάζω, τὸ λοιδορῶ, ὡς παρὰ Σοφοκλεῖ (Aiac. v. 722.),

κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ.

κῦδος δὲ οὐδετέρως, ἡ δόξα, ἐξ οὗ καὶ κύδιστος, ὁ ἐνδοξότατος. Schol. Vict.

614. Ψευσθῶσιν] Ἀποτύχωσιν, ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως.

615. Κατὰ λόγον τῶν ἡμερῶν] Διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν, ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη.

617. Ἀπαστίαν] Ἀγευστίαν· παρὰ τὸ πάσασθαι. ✠ Νηστείαν, ἀσιτίαν. Glossae.

618. Μέμνονα] Μέμνων δὲ**) καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.

619. Λαχὼν Ὑπέρβολος] Εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον

---

*) Reizius volebat οὗτος, quod Aldus habet. Vulgo οὕτως.
**) Δέ, quod Aldus habet, vulgo omissum.

τοὺς θύσοντας καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. Ϡ Ἱερομνήμονας ἔπεμπον εἰς πυλαίαν, καὶ πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις (Thesm. sec. fragm. XIII. ap. Brunck. VII. ap. Dindorf.)·

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς πυλαγόρας,
καὶ τὸν ἱερομνήμονα.

καὶ εἰσὶν οἷον ἱεροὶ*) γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν (Odyss. VIII. 163.)·

φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁδαίων.

620. † Τῆτες] Ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς σατὲς φασιν. ὅθεν σατανίους πυρούς, τοὺς μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους. †

Τῆτες ἱερομνημονεῖν] Ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας, οἳ πρὸ πυλαγόρου προεστήκεσαν τῶν ἱερῶν**) τοῦ θεοῦ. οὐδεὶς δ' ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ἱερομνήμονα εἶναι τὸν Ὑπέρβολον. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. ❖ Πυλαγόραι, οἱ προεστῶτες τῆς πυλαίας. πυλαία δέ ἐστιν ἡ εἰς Πύλας, τὰς Θερμοπύλας, γινομένη σύνοδος τῶν Ἀμφικτυόνων. Gloss. Vict.

621. Μᾶλλον γὰρ οὕτως εἴσεται] Τότε γὰρ μαθήσεται, ὅτι καλόν ἐστι ζῆν αὐτόν, ὡς πρότερον, καὶ ὡς ἂν ἄξιον***) ἦν.

623. Μὰ τὴν ἀναπνοήν] Ὑποχωρήσαντος τοῦ χοροῦ, εἰσίασιν αὖθις οἱ ὑποκριταί. ἔστιν οὖν ἡ παροῦσα εἴςθεσις τῆς διπλῆς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογʹ, ὧν τελευταῖος,

οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. δυςφορεῖ δὲ Σωκράτης ἐπὶ

---

*) Legebatur ἱερεῖς, mutatum ab Ernestio. De hoc scholio v. van Dale ad Marm. p. 458. qui multa de hieromnemonibus et pylagoris congessit.

**) Emendatio Ernestii. Legebatur ἡμερῶν.

***) Pro ἂν ἄξιον legebatur ἀνάξιος.

τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. ἐντεῦθεν δέ φασι τὸν Ἀριστοφάνη χαριζόμενον *) τοῖς περὶ Ἄνυτον καὶ Μέλητον γεγραφέναι τὸ δρᾶμα, διαβάλλοντα εἰς ἀθείαν τὸν Σωκράτη διὰ τῆς πολυμαθίας· καὶ τοὺς φιλοσόφους ἁπλοϊκῶς**) διαβάλλειν. ϑ Ἐπεὶ καὶ οὕτω ***) προεῖπε, μὴ ἡγεῖσθαι θεούς, πλὴν τὸ Χάος καὶ τὴν Ἀναπνοὴν καὶ τὸν Ἀέρα. ✠ Ἀναπνοὴν λέγει τὴν τοῦ ἀέρος ἀνάπνευσιν, ἣν ἀναπνέουσιν ἄνθρωποι· χάος δὲ τὸν τόπον, ἐν ᾧ ὁ ἀήρ. Glossa.

625. Ἄπορον] Ἀφυῆ. Glossa.

Σκαιόν] Σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυςπαρακολουθήτους ἔλεγον· ἢ τοὺς μωρούς, ἀπὸ τῆς σκαιᾶς. ✠ Ἀπαίδευτον, φαυλόνουν. Glossa.

626. Σκαλαθυρμάτι' ἄττα] Σκαλεύματα σμικρά, καὶ λεπτὰ παντάπασι νοήματα καὶ μαθήματα, σκαριφήματα. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα, οἱονεὶ παίγνια, καὶ οὐδὲν ἀξιόπιστα. ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. ✠ Μικρὰ καὶ εὐτελῆ παίγνια. Glossa.

629. Ἔξει] Ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω, τὸ πορεύομαι. οὗ παράγωγον, εἶμι. ὁ παρατατικός, εἶν, εἶς, εἶ. καὶ ὥςπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόςωπον τοῦ ὁριστικοῦ παρατατικοῦ δεύτερόν ἐστι προςτακτικοῦ †)· οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον, ἵστη μέγα κῦμα ††) (Iliad. XXI. 313.)· ἀντὶ τοῦ, ἵσταθι. Ἀριστοφάνης (Av. 1310.)·

καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πετρῶν.

ἀντὶ τοῦ ἐμπίμπληθι. οὕτως οὖν καὶ ἐκ τοῦ εἶ τρίτου προςώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει, ἔξει, προςτακτικόν. ἢ ἀπὸ τοῦ εἴω, οὗ ὁ δεύτερος ἀόριστος, ἴον, ἴες, ἴε· καὶ μετὰ τῆς ἐξ, ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, ἔξει. ὡςαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει·

---

*) Ita Kusteri ed. Veteres χαριεντιζόμενον. Mox legebatur Μέλιτον.

**) Sic Ernestius. Legebatur ἁπλοϊκούς.

***) Legebatur οὔπω. Aldina οὔπω.

†) Ald. προςτακτικόν. Omnia haec a Favorino in Aldi Hortis Adonidis fol. 54. recto exscripta esse adnotavit Dindorfius.

††) Legebatur μετὰ κῦμα.

πλὴν τοῦ πάρει, καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδοιάζονται.

Τὸν ἀσκάντην] Σκίμποδα. δίφρου εἶδος· ἢ τὸν κράβατον. ✠ Τὸν σκάμνον, τὸν σκίμποδα. Glossa.

634. Πότερα περὶ μέτρων] καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστίν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ', ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων, καὶ ὅτι πατὴρ μέτρου ῥυθμός, καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία. ϑ Διαφέρει δὲ μέτρον καὶ ῥυθμός *).

635. Περὶ τῶν μέτρων] Λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν, οὔτε μουσικός **). ὡς ἄγροικος δὲ ὁ πρεσβύτης ἀπεκρίνατο, περὶ τῶν γεωργικῶν δεξάμενος. ✠ Ἀκούσας περὶ μέτρων ὁ Στρεψιάδης, τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφεν, διὸ περὶ μέτρων φησίν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητὴς ἦν, οὔτε μουσικός. Schol. cod. Brunck.

636. Ἀλφιταμοιβοῦ] Τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ϑ Ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοί, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες.

Παρεκόπην] Ἐζημιώθην· ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. ✠ Ἠπατήθην. Gloss. Vict.

637. Κάλλιστον μέτρον] Διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προςόντα μὴ λέγων, χαριζόμενος δὲ μὴ προςόντα, ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους.

---

*) Verba διαφέρει δὲ μέτρον καὶ ῥυθμὸς legebantur post μαθημάτων. Transposita Reizii monitu. Longinus fragm. III. 1. μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ θεός. Ibidem 3. quum de hoc Aristophanis loco dixisset, addit, εἰς ἑκάτερον γοῦν παράδειγμα σημειωτέον, ὅτι ῥυθμὸς μέτρου διαφέρει, καὶ ὅτι ἴσασιν ἐν διδασκαλίᾳ οἱ παλαιοὶ τὴν τῶν μέτρων θεωρίαν.

**) Legebatur κωμικός. Correctum ab Ernestio.

639. *Ἡμιεκτέου*] Τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη΄. τούτων τὸ ἕκτον, ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτώ, τὰ τέσσαρα, ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ℌ Ἔπαιξε*) δὲ πάλιν εἰπών, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου· τουτέστι τεσσάρων χοινίκων. τούτου οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα, χοίνικες τέσσαρες. παρατηρητέον δέ, ὅτι διὰ τοῦ ε δεῖ γράφειν, ἡμιεκτέου· οὐ κατὰ τὴν κοινὴν χρῆσιν διὰ διφθόγγου, ἡμιεκταίου.

640. *Περίδου νῦν ἐμοί*] Ἀντὶ τοῦ, συνθήκας ποίησον. παρὰ τὸ Ὁμηρικόν (Iliad. XXIII. 485.)·

*δεῦρό γε νῦν τρίποδος περιδώμεθα***).

γίνεται δὲ οὕτω· δίδημι τὸ δεσμεύω. ὁ μέλλων, διδήσω· ὁ δεύτερος ἀόριστος, ἔδην· ὁ ***) μέσος, ἐδέμην, ἔδεσο, καὶ ἀποβολῇ τοῦ σ, ἔδεο· καὶ τὸ προςτακτικόν, δοῦ καὶ περίδου. καὶ Ὅμηρος (Iliad. XI. 105.)·

δίδη†) μόσχοισι λύγοισιν.

ὡς ἄγροικος δὲ πάλιν. ὃ μὲν γὰρ τὸ τῶν ποιημάτων ἔλεγε μέτρον· ὃ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.

641. *Εἰ μὴ τετράμετρον*] Πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται.

643. *Ταχὺ δ' ἄν*] Ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δυνηθείης, φησί, μεταλαμβάνειν††) τὸ κιθαρίζειν.

645. *Κομψόν*] Ἀντὶ τοῦ πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ. ℌ Πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν. ✠ Πιθανὸν καὶ ἡδύν. Glossa.

646. *Ἐπαΐειν*] Αἰσθάνεσθαι †††). Glossa.

---

*) Kusteri ed. ἔπαιζε.

**) Apud Homerum δεῦρό νυν ἢ τρίποδος περιδώμεθον.

***) Addidi articulum.

†) Legebatur δίδει.

††) Legebatur αἰσθάνεσθαι καὶ μεταλαμβάνειν. Glossa ad v. 646. apud Brunckium ostendit, male hic interpositam esse interpretationem verbi ἐπαΐειν.

†††) Vide notam ad schol. v. 643.

651. Κατενόπλιον] Εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. ἔστι δὲ ὁ ἐν ἡμιολίῳ *)· ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον· καὶ ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικόν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον, τὸν ἀμφίμακρον, ὃς καὶ Κρητικὸς **) καλεῖται· ἀπὸ

---

*) Meibomius ad Aristidem Quintilianum p. 264. ita hunc locum integrandum censet: ἔστι δὲ ὁ μὲν κατὰ δάκτυλον ἐν ἴσῳ λόγῳ, ὁ δὲ κατ' ἐνόπλιον ἐν ἡμιολίῳ. Non necesse. Hemiolium dicit e tribus pedibus constantem, propterea quod bini pedes dipodiam anapaesticam efficiunt. Sic versus ithyphallicus τροχαϊκὸς ἡμιόλιος dicitur ab Hephaestione p. 48. v. schol. eius p. 52. Quae sequuntur, ita legebantur: ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσόν τι ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικόν. Meibomius ἴσόν τινα. Harlesius ἡ γὰρ μακρὰ θέσις πρὸς τὰς δύο βραχείας ἄρσεις, ex Aristide p. 36. Nihil horum verum. Quare nos aliter locum emendavimus. Hemiolium rhythmum dicit, qui e duobus dactylis et spondeo constat, ut recentior scholiastes et enarrator Hephaestionis p. 91. de versu heroico: κατ' ἐνόπλιον μὲν οὖν ἐστὶ τὸ ἔχον δύο δακτύλους καὶ ἕνα σπονδεῖον, οἷον,

ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ.

Hunc rhythmum ne quis dubitet hemiolium esse, addit haec: ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον, quo ostendat spondeum parem esse dactylo, atque idcirco etiam dimidiatam dipodiam anapaesticam. Confundit enim numerum κατ' ἐνόπλιον, qui in versu heroico dicitur, cum eo, qui vocatur προσοδιακός. Propterea haec adiicit, καὶ ἔχει ῥυθμὸν ἐκ τριποδίας ἀναπαιστικόν, dactylis scilicet in prima et secunda sede anapaesti vicem sustinentibus. Prosodiacus enim versus spondeo constat et duobus anapaestis, quem grammatici Ionico maiore et choriambo metiuntur:

— — ◡ ◡ | — ◡ ◡ —

αὐτὰ δὲ σύ, Καλλιόπα.

Vide Hephaestionem p. 49. et scholiasten eius p. 52. De eodem prosodiaco κατ' ἐνόπλιον illa sunt intelligenda: ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. Sed imperitus homo ita loquutus est, quasi in eadem sede omnes pedes bisyllabi admitterentur. Verum nihil aliud vult, quam reperiri in isto versu pedes bisyllabos omnes, si binae semper syllabae coniungantur:

— — | ◡ ◡ | — ◡ | ◡ —

id quod alius scholiastes clarius sic dixit: ὁ δὲ ἐνόπλιος, ὁ καὶ προσοδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυῤῥιχίου καὶ τροχαίου καὶ ἰάμβου. Vide Elem. doctr. metr. p. 351. seq

**) Apud Suidam in κατ' ἐνόπλιον legitur Κουρητικός: sed

*τοῦ εἰς τοὺς Κούρητας ἀεὶ γινομένου *) μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προςωρχοῦντο σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον. . . . **) † Κατ' ἐνόπλιον, ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν· οἷον,*

ὣς φάτο δακρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ·

*λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον, διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας· ἐπὶ πλέον δὲ τοῖς μεθ' ὅπλων σεμνῶς πηδῶσι καὶ πυῤῥιχίζουσι † ***).*

Κατὰ δάκτυλον] Ἀριθμητικόν ἐστι μέτρον†). ἔστι δὲ ῥυθμοῦ καὶ κρούματος εἶδος τὸ κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταί. 𝔍 Ὁ κατὰ δάκτυλον ῥυθμὸς ἐστὶν ὁ ἐν ἴσῳ λόγῳ††)· ὁ δὲ ἐνόπλιος, ὁ †††) καὶ προςοδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυῤῥιχίου καὶ τροχαίου καὶ ἰάμ-

---

scholiastes Hephaestionis p. 83. sic vocat tertium paeonem. Idem p. 82. palimbacchium nominat *ἐνόπλιον*. V. Plat. de rep. III. p. 400. B. schol. Plat. p. 401. Aristot. fr. rhythm. p. 300. Aristid. Quint. p. 34 — 40.

*) Ita Ernestius e Suida, in quo scriptum: *ἀπὸ τοῦ ἀεὶ τὰ εἰς τοὺς Κούρητας γενόμενα μέλη τούτῳ τῷ ῥυθμῷ γίνεσθαι.* Legebatur *ἀναγομένου.*

**) Legebatur, *καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον, ᾧ χρῶνται (ζήτει τίνες. ἴσως δὲ λείπει τὸ οἱ αὐληταί.)* Meibomius *ὅθεν καὶ καλεῖται κατ' ἐνόπλιον. Κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ αὐληταί.* Alii aliter. Nos lacunae signa apposuimus, et delevimus reliqua, quae nata sunt ex repetitione scholii, quod deinde legitur.

***) Hoc Iuntinae scholion est etiam in Victorianis.

†) Meibomius *ἀναπαιστικόν*, male. Suidas *κατὰ δάκτυλον· εἶδος ἀριθμητικόν, ἢ γεωμετρικόν, ἢ ῥυθμοῦ καὶ κρούματος τὸ κατὰ δάκτυλον, ᾧ ἐχρῶντο οἱ αὐλοῦντες πρὸ τοῦ νόμου.* In quo post *κρούματος* e scholio nostro addendum *εἶδος*. Contra e Suida scholiasten emendavimus, in quo legebatur, *ῥυθμὸς κρούματος εἶδος κατὰ δάκτυλον.* Vide etiam Hesychium. Reuvens in Collectaneis litterariis p. 116. seq. corrigendum putabat: *ῥυθμικόν ἐστι μέτρον. ἔστι δὲ ῥυθμὸς κρούματος εἶδος*, etc. Santenins autem ad Terent. Maur. p. 84. defendit *ἀριθμητικὸν* ex iis quae Pollux II. 157. et Favorinus in *ἐπὶ δακτύλων θεῖναι* habent, scribique deinde vult *ἔστι καὶ ῥυθμοῦ καὶ κρούματος εἶδος.*

††) Recte Meibomius *ἐν ἴσῳ λόγῳ.* Legebatur *λόγος. Ἴσον λόγον* vocant, si altera pars pedis prioris mensuram aequiparat, quod est in dactylo et anapaesto. Vide schol. Hephaest. p. 11.

†††) Aberat *ὁ*. Deinde legebatur *προςῳδιακός.*

βου· συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν, Ἰωνικῇ καὶ χοριαμβικῇ *).

649. *Τίς ἄλλος*] Τὴν παραγραφὴν**) ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους·

τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;

καὶ τάχα εἴη λέγων τῷ γέροντι· ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις, ἢ τοῦτον; δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν, οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. . . . ***) ὡς ἄγροικος, καὶ οὗτος ἐρεῖ οὐδὲν ἧττον· δείξει δὲ †) τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περιαίρηται ††), ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. ∮ Ἄλλως. Δεικνύει τὸν μέσον δάκτυλον αἰσχρῶς. οὐδείς, φησὶν †††), ἔστιν ἄλλος ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν, καὶ νῦν δὲ γεγηρακότι. ✠ *Τουτουί.* τὴν πόσθην αὐτοῦ ἔδειξε. Gloss. Vict.

651. *Ἀγρεῖος.* ἄγροικος. Gloss. Vict. *Ὦ ὀζυρέ.* ὀζυρὸς καὶ οἰζυρός, ὁ ταλαίπωρος καὶ ἄθλιος· καὶ οἰζώ, ἡ ταλαιπωρία. Schol. cod. Leid. *Ὠιζυρέ.* ὥςπερ ἀπὸ τοῦ αἲ θρηνητικοῦ μορίου καὶ ἐπιῤῥήματος γίνεται ῥῆμα αἰάζω, τὸ θρηνῶ, καὶ ἐξ αὐτοῦ Αἴας καὶ αἰανός, ὁ σκοτεινός· οὕτως καὶ ἀπὸ τοῦ οἲ θρηνητικοῦ ἐπιῤῥήματος γίνεται μὲν τὸ οἰμώζω, καὶ ἐξ αὐτοῦ οἰμωγή, ὁ θρῆνος, γίνεται δὲ καὶ τὸ οἴζω, ὃ σημαίνει τὸ θρηνῶ, κατὰ δὲ διάλυσιν καὶ μεταπλασμὸν ὀϊζύω, καὶ ἐξ αὐτοῦ ὀϊζυρὸς καὶ ὀϊζύς. Schol. Vict.

657. *Κύων, ἀλεκτρυών*] Ἔπαιξε, τὴν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας. καὶ ταῦτα δὲ γελοίου χάριν παρεί-

---

*) Sic recte Reizius. Vide Hephaestionem p. 49. et scholia ad eum p. 52. Legebatur ἀναπαιστικῇ καὶ Ἰωνικῇ.

**) Ernestiius περιτροπήν. Legebatur παρατροπήν.

***) Lacunam hic esse indicavi. Videtur hoc ferme excidisse: ὁ δὲ δεύτερος Στρεψιάδου.

†) Addidi δέ, et scripsi δείξει. Legebatur δείξειν, nulla facta inde ab ὡς γὰρ interpunctione. *Καὶ οὗτος οὐδὲν ἧττον*, scilicet δάκτυλος.

††) Sic recte Aldina. Kusteri ed. περιαίρεται.

†††) Legebatur οὐδεὶς φήσει, ὡς.

ληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα Σωκράτους, ὅτι κατ' αὐτῶν ὄμνυσιν.

659. Ἀλεκτρυόνα κατὰ ταυτό] Οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ·

γύναι, τί τὸ ψοφῆσάν ἐστιν; ἀλεκτρυὼν *)
τὴν κύλικα καταβέβληκεν. οἰμώξουσά γε.

καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ·

ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις **).

Καὶ ***),

ὁ δὲ παῖς ὅδ' †) ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.

¶ Οἱ Ἀττικοὶ δὲ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, καὶ Θεόπομπος ††). λέγουσι δ' αὐτὴν καὶ ἀλεκτρύαιναν.

663. Νὴ τὸν Ἀέρα] Μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὀμνύουσιν.

669. Ὥσπερ καὶ Κλεώνυμον] Σύ, φησί, τὴν κάρδοπον καλεῖς ἀρσενικῶς, δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρ-

---

*) Legebatur ἡ ἀλεκτρυών. Vnde Brunckius in fragm. ἔσθ'; ἡ 'λεκτρυὼν edidit.

**) Athenaeus p. 374. et ex eo Eustathius ad Odyss. p. 1479. et Suidas in ὑπηνέμια ex Aristophanis Daedalo haec afferunt. Ernestius e Clem. Alex. Strom. VI. p. 628. qui Aristophanem et Platonem in Daedalo se invicem compilasse tradit, in utriusque Daedalo haec lecta videri observat. Vult autem verbum ἐνίοτε non poetae esse, sed scholiastae, idque etiam Athenaeus omisit. Sic etiam Brunckius censet, quod ἐνίοτε et πολλάκις sibi repugnent. Sed quum Suidas quoque servet ἐνίοτε, in quo hoc verbum necessario tribuendum est poetae, recessimus ab Ernestii et Brunckii sententia. Certis temporibus, inquit, multae gallinae perpetuo irrita pariunt ova. Verno tantum tempore haec fieri auctor est Plinius X. 80. Porro βίᾳ abest in scholiis, quod habent Suidas et Athenaeus, sed hic post ὑπηνέμια, quod verbum in scholiis ὑπήνεμα scriptum.

***) Καὶ hic collocavimus, quod legebatur ante praecedentem versum.

†) Additum pronomen, quod aberat, iam ab Heinsio et a Porsono.

††) Excidit locus Theopompi e Pace, quem servavit Athenaeus p. 374.

ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

ῥενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. ✠ Ἢ πρὸς τὸ φράσον στίξον καὶ τὸ λοιπὸν κατ' ἐρώτησιν λέγε· ἢ τὸ ὅλον ἓν ἔστω. Schol. Cant. 1.

670. Ταυτὸν δύναταί σοι] Οἷον τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. ϑ Ὅ ἐστι, δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει, τῷ ἀλφίτων δεκτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν· καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν.

672. Ἀλλ' ἐν θυείᾳ] Ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτόν, καὶ ἀποροῦντα μάκτρας. μάκτρα δὲ ἡ μικρὰ *) θυεία, ἡ δὲ κάρδοπος **), μεγάλη. ϑ Ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔνδον ὁ Κλεώνυμος.

674. † Τὴν Σωστράτην] Πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπών, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας † ***).

676. Καρδόπη, Κλεωνύμη] Τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος, καὶ λείπει τὸ ὡς· ἵν' ᾖ, ἐκεῖνο δ' ἦν ὀρθῶς, ὡς καρδόπη, καὶ Κλεωνύμη λέγειν. ϑ Ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην, ὡς Κλεωνύμην.

584. Οὐκ ἄῤῥεν'] Οὐκ ἄῤῥενα ταῦτα ἡμεῖς ἡγεῖσθε. Gloss. quarti Reg.

687. Γυναῖκα τὴν Ἀμυνίαν] Πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κρατῖνος δὲ ἐν Σεριφίοις †), ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. Εὔπολις δέ, ὡς παραπρεσβευτήν ††)· ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται (v. 1271. Brunck.).

---

*) Μικρὰ addidit Ernestius.

**) Legebatur καρδόπη.

***) Habet hoc scholion etiam Victorius.

†) Legebatur Κράτης δὲ ἐν Δεῤῥίφοις. Iam pridem emendatum e schol. ad Vesp. 74. v. Ernest. praef. p. 28. et Iungerm. ad Pollucem VII. 69. Male autem scripsere Σερίφοις. Haud dubie enim fabulae nomen fuit Σερίφιοι, quod passim occurrit. Alterum non minus frequens, sed errore scripturae.

††) Sic recte Ernestius e schol. ad Vesp. 1263. Legebatur παραπρεσβύτην.

690. *Κατακλινεὶς*] Τοῦτο κοινόν. τὸ γὰρ κατακλιθεὶς ἱττικόν. † Ἰωνικῶς δὲ κατακλινθείς †.

691. *Ἐκφρόντισόν τι*] Ἀντὶ τοῦ, σκέψαι καὶ διανοήητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων.

692. *Μὴ δῆθ᾽ ἱκετεύω*] Παρεπιγραφή. ποιήσει γὰρ τὸ ροσταχθέν. εἶτα καταβραθεὶς ἀρνηθήσεται.

694. *Οὐκ ἔστι παρὰ ταῦτ᾽ ἄλλα*] Εἰ μὴ ἐπὶ τοῦ σκάντου σκέψῃ. τοῦτο, φησί, πάντως δέδοκται. οὐκ ἀνίημί ε ἑλόντα ποιῆσαί τι.

695. *Τήμερα*] Ὡς ἐν Ὁλκάσιν·

ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

ἥμερος *), ὁσημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ ὲ τήμερον ἐπὶ χρόνου λέγεται.

696. *Φρόντιζε δὴ καὶ διάθρει*] Ἐκάθισεν αὐτὸν ἐπὶ οῦ ἀσκάντου. τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν. Ἔκθεσις τῆς διλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν· ν τὸ πρῶτον δίμετρον ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ δεύερον, δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον, ἰαμβιὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διϊάμβου καὶ χοριάμβου τρίετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διϊάμβου καὶ διτροχίου **) ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διϊάμβων καὶ κατὰ ὸ μέσον χοριάμβου ***). τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκαάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον, ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς σύλλαβον· πλὴν τοῦ πεντεκαιδεκάτου, μονομέτρου ὄντος. ιοίως καὶ τοῦ ἑπτακαιδεκάτου, καὶ εἰκοστοῦ πρώτου (ἀναιιστικαὶ γὰρ βάσεις) καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ντος ἑφθημιμεροῦς, παροιμιακοῦ δέ, ὡς πολλάκις εἴρηται, ιλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει ὸ διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις ῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ

---

*) Hoc vocabulum aberat, deinde legebatur ὁσημερινός, et τεγμένως. Correximus e Suida in τήμερος.

**) Recte sic Ernestius. Legebatur τροχαίου.

***) Recte sic Ernestius. Legebatur διτροχαίου.

καὶ δι' ἑτέρου· ἔστι δ' ὅτε καὶ διὰ διαφόρων, ὡς κἀνταῦθα. § Ἀνάκρινε καὶ δοκίμαζε *).

697. *Πάντα τρόπον*] Τουτέστιν, ἐπὶ πολλα τὴν διάνοιάν σου στρέφε.

698. *Στρόβει*] Περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλά, πυκνόν τι καὶ συνετὸν ποιήσας, καὶ φρόνιμον σκεψάμενος.

Πυκνώσας] Συναγαγὼν πάντα τὸν νοῦν σου. Glossa quarti Reg.

699. *Εἰς ἄπορον πέσῃς*] Ἐπειδὰν δέ, φησίν, εἴς τι ἄπορον πέσῃς, ταχὺ ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δέ, οὗ πόρον καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους, ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ, δῆλον ὅτι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται.

706. *Ἰατταταί*] Καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γάρ, καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει.

709. *Οἱ Κορίνθιοι*] Ἴσως αὐτοῖς ἐπέκειντο κατ' ἐκεῖνο καιροῦ οἱ Κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ κόρεων, ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. ✣ Δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν· ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον, καὶ οἱ Κορίνθιοι τὰ τῆς Ἀττικῆς ἐδῄουν. Schol. MS.

711. † *Ψυχὴν ἐκπίνουσιν*] Ἰστέον ὅτι τρεῖς ψυχάς φασι, τὴν αὐξητικήν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων, καὶ τῶν φυτῶν· τὸ αἷμα, ὅπερ ἐστὶ μόνων τῶν ζώων· καὶ τὴν λογικήν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων †. § Αἷμα. Glossa.

718. *Φρούδη δ' ἐμβάς*] Μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας, ὅτε ἀπεδύετο, μέλλων εἰςιέναι εἰς τὸ φροντιστήριον. † Ἄλλως. Οὐκ εἶπεν ὄπισθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰςῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον, ὅτι ἐξεδύσατο τὸ

---

†) Haec glossa ad στρόβει v. 698. adscripta erat. Ad διάθρει pertinere monuit Ruhnkenius.

ἀτιον. καὶ οὐδὲν θαυμαστόν, εἰ τὸ γεγονὸς μὲν τότε παρῆκε, ῖν δὲ λέγει· τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὃ δὲ ἐκεῖ πεν, ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει †.

720. *Φρουρᾶς ᾄδων*] Οἱ φρουροῦντες ἐν τῷ πολέμῳ ὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν, ᾖδον. καὶ οὕ-ος ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, *φρουρᾶς ᾄδειν*. Ἄλλως. Ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ υτοῖς ᾄδειν ἀποπερισπῶντες τὸν ὕπνον. ϑ *Φρουρᾶς ᾄδων*, ον διαγρυπνῶν τὴν φρουράν. παρὰ δὲ τὴν λέξιν τὴν φρούδη ῦτο πεποίηκε. διϲϲὴ δὲ ἡ γραφή. *φρουρᾶς* *) *ᾄδων*, ἀντὶ ῦ συνεχῶς ᾄδων φρουρᾶς **). τὸ δὲ *φρουρᾶς ἰδών* ***), ντὶ τοῦ φυλάττων· ἐπεὶ φύλακες ἦσαν τῶν τοῦ φροντιστη-ίου θυρῶν †). † Ἄλλως. Τὸ *φρουρᾶς ᾄδειν* παροιμία τὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακήν, ᾄδουσιν, ἵνα μὴ τὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν, ὃ φυλάσσου-ν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο, ἀλλ' ἐφρόντιζεν. ἀστείως πάνυ καὶ τὸ *φροῦδος* εἴρηκεν ὁ ποιητής, ἐκ τῶν δύο λέ-ων συνθήκης, τοῦ φρουρᾶς καὶ τοῦ ᾄδων, σχηματίσας αὐ-† . ✠ Ἕνεκα. παροιμία ἐπὶ τῶν ἀγρυπνούντων. Glossa.

725. *Ἀπόλωλ' ἀρτίως*] Ὑπὸ τῶν κόρεων δηλονότι. ειδὴ Σωκράτης εἶπεν *ἀπολεῖ*, ὅ ἐστι, μέλλεις ἀπολέσθαι, ὸς λέγει, ὅτι ἀπόλωλ' ἤδη.

726. *Περικαλυπτέα*] Δεῖ δέ, φησί, καλύψασθαι καὶ έψασθαι. ἐπεὶ οἱ εἴς τι τείνοντες ††) τὸν ὀφθαλμόν, ἀποπλα-ῶνται τὴν γνώμην.

728. † *Κἀπαιόλημ'*] Ἀπαιόλημα γίνεταί ἀπὸ τοῦ αἰόλλω, δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ· ἀφ' οὗ *Ὅμηρος ἰολοπώλους* τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυΐππους, ἢ οι...ως ἱππαζομένους †. ϑ Ἀπάτη †††) καὶ πανουργία. Glossa.

---

*) Legebatur φρουρός. Mutatum, ut reliqua in hoc scholio e uida in φροῦδος.

**) Legebatur φρουρός.

***) Legebatur ᾄδων.

†) Legebatur, τῶν φροντιστηρίων θυρῶν.

††) Legebatur εἰςτείνοντες.

†††) Schol. Aeschyli ad Choeph. 1002. ἀπάτημα.

ῤενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. ❖ Ἡ πρὸς τὸ φράσον στίξον καὶ τὸ λοιπὸν κατ' ἐρώτησιν λέγε· ἢ τὸ ὅλον ἓν ἔστω. Schol. Cant. 1.

670. *Ταυτὸν δύναταί σοι*] Οἷον τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. ℊ Ὅ ἐστι, δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει, τῷ ἀλφίτων δεκτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν· καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν.

672. *Ἀλλ' ἐν θυείᾳ*] Ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτόν, καὶ ἀποροῦντα μάκτρας. μάκτρα δὲ ἡ μικρὰ *) θυεία, ἡ δὲ κάρδοπος **), μεγάλη. ℊ Ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρόπον γὰρ μάκτρας ἔνδον ὁ Κλεώνυμος.

674. † *Τὴν Σωστράτην*] Πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπών, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας † ***).

676. *Καρδόπη, Κλεωνύμη*] Τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος, καὶ λείπει τὸ ὡς· ἵν' ᾖ, ἐκεῖνο δ' ἦν ὀρθῶς, ὡς καρδόπη, καὶ Κλεωνύμη λέγειν. ℊ Ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην, ὡς Κλεωνύμην.

584. *Οὐκ ἄῤῥεν'*] Οὐκ ἄῤῥενα ταῦτα ἡμεῖς ἡγεῖσθε. [illegible]ss. quarti Reg.

687. *Γυναῖκα τὴν Ἀμυνίαν*] Πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. *Κρατῖνος* δὲ ἐν Σεριφίοις †), ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. *Εὔπολις* δέ, ὡς παραπρεσβευτὴν ††)· ὅπερ καὶ ἐν τοῖς *Σφηξὶ* φαίνεται (v. 1271. Brunck.).

---

*) Μικρὰ addidit Ernestius.

**) Legebatur καρδόπη.

***) Habet hoc scholion etiam Victorius.

†) Legebatur Κράτης δὲ ἐν Δεῤῥίφοις. Iam pridem emendatum e schol. ad Vesp. 74. v. Ernest. praef. p. 28. et Iungerm. ad Pollucem VII. 69. Male autem scripsere Σερίφοις. Haud dubie enim fabulae nomen fuit Σερίφιοι, quod passim occurrit. Alterum non minus frequens, sed errore scripturae.

††) Sic recte Ernestius e schol. ad Vesp. 1263. Legebatur παραπρεσβύτην.

690. *Κατακλινεῖς*] Τοῦτο κοινόν. τὸ γὰρ κατακλιθεὶς Ἀττικόν. † Ἰωνικῶς δὲ κατακλινθείς †.

691. *Ἐκφρόντισόν τι*] Ἀντὶ τοῦ, σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων.

692. *Μὴ δῆθ' ἱκετεύω*] Παρεπιγραφή. ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθεὶς ἀρνηθήσεται.

694. *Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα*] Εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτο, φησί, πάντως δέδοκται. οὐκ ἀνίημί σε ἑλόντα ποιῆσαί τι.

695. *Τήμερα*] Ὡς ἐν Ὁλκάσιν·

ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

τήμερος *), σήμερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται.

696. *Φρόντιζε δὴ καὶ διάθρει*] Ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν. Ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν· ὧν τὸ πρῶτον δίμετρον ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ δεύτερον, δίμετρον ἐκ χοριάμβου καὶ βακχείου. τὸ τρίτον, ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διϊάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διϊάμβου καὶ διτροχαίου **) ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διϊάμβων καὶ κατὰ τὸ μέσον χοριάμβου ***). τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον, ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον. τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον· πλὴν τοῦ πεντεκαιδεκάτου, μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου, καὶ εἰκοστοῦ πρώτου (ἀναπαιστικαὶ γὰρ βάσεις) καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἑφθημιμεροῦς, παροιμιακοῦ δέ, ὡς πολλάκις εἴρηται, καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δύο διπλαῖ ὡς ἐν τοῖς προφθᾶσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ

---

*) Hoc vocabulum aberat, deinde legebatur ὁσημερινός, et τεταγμένως. Correximus e Suida in τήμερος.

**) Recte sic Ernestius. Legebatur τροχαίου.

***) Recte sic Ernestius. Legebatur διτροχαίου.

εὐθύς, ταχύς, ἀτρέμας, καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ οὕτως ἔχον εὑρήσεις ἀκριβῶς σκοπῶν. †

743. Ἀφεὶς ἄπελθε] Ἔασον*) τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστὶ τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον, συνάρμοσον, σύμπλεξον**). Κίνησον δὲ αὖθις, ἀντὶ τοῦ καὶ δεύτερον καὶ τρίτον ἐπίστησον· περὶ τῶν αὐτῶν ζυγοστάτησον, ἴσωσον.

744. Κίνησον αὖθις] Ὑποτίθεται πῶς δεῖ φροντίζειν, καὶ τίνα τρόπον. φησὶ γάρ, ἐὰν ὑπεισέλθῃς, ἔτι μὴ ἀμελήσῃς, ἀλλὰ πολλάκις αὐτὸ μέτελθε· καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ.

† Ζυγώθρισον] Ἀπὸ τοῦ ζυγὸς γίνεται, καὶ τοῦ ἀθερίζω, τὸ ἀποδοκιμάζω, ζυγοαθέρισον, καὶ κατὰ συγκοπὴν τοῦ ε, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα, ζυγώθρισον. † Σκόπησον, μελέτησον· μεταφορικῶς. Glossa.

745. Ὦ Σωκρατίδιον] Ἐνθυμηθεὶς ἐξανίσταται βοῶν.

748. Γυναῖκα φαρμακίδ'] Ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. ℈ Διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι δὲ νῦν αἱ***) φαρμακίδες παρ' ἡμῖν Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φυγοῦσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἀνέφυσαν. τὸ δὲ Θεττάλην Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον†), ὡς δαμάλην.

750. Λοφεῖον στρογγύλον] Τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. ✠ Λοφεῖον. ἀγγεῖον. Glossa.

751. Ὥςπερ κάτοπτρον] Ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής, καθάπερ καὶ ἔσοπτρα††). καὶ φασὶ τοὺς περὶ

---

*) Kusteri ed. ἄπελθε ἐάσας. Dedimus ἔασον ex Aldina et Suida in ζυγώθρισον. Ἄπελθε Aristophanis verbum est.

**) Suidas σύμπηξον.

***) Articulus et hic et apud Suidam in Θετταλὴ γυνὴ male ante Θετταλαὶ collocatus erat.

†) Ernestius legendum putabat, καὶ οἱ κατὰ Μένανδρον. Menandri Thessalam commemorat Steph. Byz. in Θεσσαλία, ubi vid. Berkel. Suidas generatim Atticos nominat, testimoniumque ex hoc ipso Aristophanis loco petit.

††) Emendatio Kusteri. Antea legebatur ἔκοπτα. Suidas in Θετταλὴ γυνὴ habet ἔσοπτρον.

739. *Σχάσας*] Κατασπάσας*), στήσας, ἀτρεμήσας. καὶ *Πίνδαρος* (Pyth. X. 79.)· *κώπαν σχάσας*· ἀντὶ τοῦ ἀτρεμήσας. ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἀπλώσας. ✠ Ὄπισθεν μὲν ἔλεγε παθητικῶς *σχασάμενος*· (v. 108.) νῦν δὲ *σχάσας*. ἔοικε δὲ ἀμφότερα ἐν χρήσει. ἔστι δὲ καὶ σχάζειν τὸ τέμνειν τὴν φλέβα, ὡς *Ξενοφῶν* (Hist. Gr. V. 4, 58.)· *σχάζει τὴν παρὰ τῷ σφυρῷ***) *φλέβα*. Schol. Cant. 8.

740. *Λεπτὴν*] Ἀκριβῆ. ἔνθεν***) καὶ λεπτολόγος.

Περιφρόνει] Ἐρεύνα.

741. *Διαιρῶν*] Ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων, περὶ οὗ τὴν σκέψιν ποιῇ· ἀναπτύσσων, δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα †), οἷον διαίρεσιν αὐτῶν ποιῶν. 𝔊 Ἄλλως. Ὡς ἐπὶ τῶν νομισμάτων ††) ἐχρήσατο. ὡςεὶ ἔλεγε κατὰ κεφάλαιον ἐκζητῶν. † Ὁ γὰρ σκεπτόμενος οὕτω, διαιρεῖ τὴν βουλήν· οἷον, εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει· καὶ εἰ τόδε, τόδε † †††).

742. *Ἔχ' ἀτρέμα*] Ἐφ' ἡσυχίας μένε· ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. † Ἄλλως. Ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικὰ τρίτα πρόςωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν ταῖς τοῖς πάλαι σοφοῖς πεπονημέναις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες, καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν γράφουσι· πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ καὶ ἐν τοῖς ν καὶ εἰς ς λήγουσιν ἐπιῤῥήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὑπένερθεν· τὸ οὕτως, αὖθις, πολλάκις,

---

*) V. D. Misc. obss. Belg. vol. III. p. 106. καταπαύσας legendum putat. Vide scholia ad v. 107.

**) Eadem fere in Cant. 5. ubi παρὰ τῷ μηρῷ.

***) Legebatur ἔνθα καὶ λεπτολόγος ἔρευνα. Mutatum e Suida in λεπτὴν πλέκει.

†) Sic recte Kusterus e Suida. Edd. vett. ποιήματα.

††) Hoc dedimus e Toupii coniectura ad Suidam in διαιρῶν, vol. III. p. 52. quam hausit e schol. ad Ran. 78. Legebatur μίμων. Suidas haec neque in διαιρῶν, neque in σκοπῶν habet.

†††) Exstat hoc scholion etiam in Victorianis.

οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει. εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο. καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. †

760. † *Εἷλε τὴν γνώμην*] Εἱλῶ, τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως. εἵλω δέ, βαρυτόνως, παρὰ τοῖς ποιηταῖς. † ℐ Στρέφε. Glossa cod. Brunck. et quarti Reg. Ἀπόκλειε. Glossa membr. Reg.

761. ✣ *Ὑποχάλα.* ὥςπερ ἀπὸ ὕψους τινὸς καταβίβαζε. Schol. Cant. 3.

762. *Μηλολόνθην*] Οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν, ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ, καὶ ἐκπεταννύουσιν. ℐ Ἄλλως. Τὸν χρυσοκάνθαρον. οὕτως οὖν, φησί, δῆσόν σου τὴν γνώμην, ἵν', ὅταν ἀρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν.

765. † *Τοῖσι φαρμακοπώλαις*] Φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε*) λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς, τουτέστι πολυτίμους, λίθους πιπράσκοντες, φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν**) δύναμιν. †

767. *Τὴν ὕαλον λέγεις*] Κατασκεύασμά ἐστιν ὑάλου τροχοειδές, παχύ, εἰς***) τοῦτο τεχνασθέν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ†) θερμαίνοντες, προςάγουσι θρυαλλίδα, καὶ οὕτως ἅπτουσι. τοῦτο οὖν, φησίν, εἰ ὑφάψαιμι διὰ τῆς ὑέλου††), καὶ προςαγάγοιμι†††) τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς, καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν· ὕα-

---

*) Legebatur γε.

**) Non placet Nagelii κρατεράν.

***) In Aldina abest εἰς. Sed habet etiam Suidas in ὑάλη. Confer Philemonis lexicon v. ὕαλος.

†) Aberat ἡλίῳ. Additum e Suida, in quo legitur ἐλαίῳ χρίσαντες καὶ ἡλίῳ θερμήναντες.

††) Sic Aldina. Vide Thom. M. p. 862. et Moerin p. 373. eorumque interpretes. Vulgo ὑάλου. Suidas ἠλέκτρου.

†††) Sic e Suida dedimus. Legebatur προςάγοιμι.

τὰ τοιαῦτα δεινοὺς οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ τοῦ τοιούτου κατόπτρου. πληροσελήνου*) τῆς σελήνης οὔσης, εἴ τις ἔσοπτρον**) ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ στῆναι κατόπιν αὐτοῦ, δείκνυσι***) πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας****) ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα, ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα.

753. *Μηκέτ' ἀντέλλοι*] Πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ (v. 17.),

ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.

† Τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν οὐκ ἀνατέλλοι, πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσαιεν τοὺς τόκους; †

754. *Τίη τί δή*] Παράλληλα. καὶ παρ' *Ὁμήρῳ* (Iliad. XXIII. 409.)·

τίη λείπεσθε, ἄριστοι†).

755. *Ἀργυρίων*] Οὕτως ἡ γραφὴ ἀργύρια ††) παρὰ *Φρυνίχῳ* κεῖται· ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασίν. οἱ ῥήτορες ἑνικῶς. καὶ *Σώφρων* πληθυντικῶς· *ἀργυρίων δεήσῃ*.

756. † *Προβαλῶ*] Προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. †

757. *Πεντετάλαντός τις δίκη*] Κατηγορία †††) πέντε σε δυναμένη ζημιῶσαι τάλαντα. Ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ πέντε ἐφύλαξε. † Ἄλλως. Ἰστέον ὅτι ἐν τοῖς δικαστηρίοις ††††)

---

*) Sic e Suida scripsimus. Legebatur προσελήνου.

**) D. Heinsius εἰς ἔσοπτρον.

***) Suidae lectionem sequuti sumus. In scholiis legebatur σταίη κατόπιν αὐτοῦ, δεικνύς. Vnde Ernestius corrigebat καὶ μὴ προειπὼν ἑτέρῳ.

****) Sic dedimus e Suida. Vulgo ἀτενίσειε. Aldina ἀτενίσαι.

†) Legebatur τίη τί δὴ λείπεσθαι, ἄριστοι. Apud Homerum φέριστοι est.

††) Legebatur ἀργυρίων. Vide notam ad contextum Aristophanis.

†††) Legebatur εἰ κατηγοροίη. Vnde male Ernestius p. 30. εἰ κατηγοροίη σέ τις δίκην πέντε δυναμένην ζημιῶσαι τάλαντα.

††††) Sic Ernestius p. 30. Legebatur δικασταῖς.

οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον, ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει. εἶτα ὁ τοῦ δικαστηρίου γραμματεὺς ἔγραφε τοῦτο. καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. †

760. † Εἶλε τὴν γνώμην] Εἰλῶ, τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως. εἴλω δέ, βαρυτόνως, παρὰ τοῖς ποιηταῖς. † ϑ Στρέφε. Glossa cod. Brunck. et quarti Reg. Ἀπόκλειε. Glossa membr. Reg.

761. ⁘ Ὑποχάλα. ὥςπερ ἀπὸ ὕψους τινὸς καταβίβαζε. Schol. Cant. 3.

762. Μηλολόνθην] Οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν, ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ, καὶ ἐκπεταννύουσιν. ϑ Ἄλλως. Τὸν χρυσοκάνθαρον. οὕτως οὖν, φησί, δῆσόν σου τὴν γνώμην, ἵν', ὅταν ἁρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν.

765. † Τοῖσι φαρμακοπώλαις] Φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε*) λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς, τουτέστι πολυτίμους, λίθους πιπράσκοντες, φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν**) δύναμιν. †

767. Τὴν ὕαλον λέγεις] Κατασκεύασμά ἐστιν ὑάλου τροχοειδές, παχύ, εἰς***) τοῦτο τεχνασθέν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ†) θερμαίνοντες, προςάγουσι θρυαλλίδα, καὶ οὕτως ἅπτουσι. τοῦτο οὖν, φησίν, εἰ ὑφάψαιμι διὰ τῆς ὑέλου††), καὶ προςαγάγοιμι†††) τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς, καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν· ὕα-

---

*) Legebatur γε.

**) Non placet Nagelii κρατεράν.

***) In Aldina abest εἰς. Sed habet etiam Suidas in ὑάλη. Confer Philemonis lexicon v. ὕαλος.

†) Aberat ἡλίῳ. Additum e Suida, in quo legitur ἐλαίῳ χρίσαντες καὶ ἡλίῳ θερμήναντες.

††) Sic Aldina. Vide Thom. M. p. 862. et Moerin p. 373. eorumque interpretes. Vulgo ὑάλου. Suidas ἠλέκτρου.

†††) Sic e Suida dedimus. Legebatur προςάγοιμι.

λος δὲ οὔ. † Ἄλλως. Ὕαλον ὑμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένον *) καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λέγομεν. οἱ παλαιοὶ δὲ τὴν διαφανῆ λίθον, τὸν **) ἰδιωτικῶς λεγόμενον κρύον, ἐοικότα δὲ ὑάλῳ. †

772. Νὴ τὰς Χάριτας] Οὐχ ἁπλῶς ***) ὄμνυσι κατὰ τῶν Χαρίτων. ὀπίσω γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ του Σωκράτους εἰς τὴν πρώτην τέχνην. † Ἄλλως. Τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας, ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τοῦ χάρτου τεφρώσεως. Χαρίτων γὰρ ἔργα καὶ δῶρα σοφία. ἐσχηματισμένως δὲ τοῦ Σωκράτους καθάπτεται ὁ ποιητής, κωμῳδῶν †) τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης, καὶ τῆς λαξευτικῆς μετέσχε τέχνης, καὶ ἀνδριάντας λιθίνους ἐλάξευε, καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων εἰργάσατο ††), Πειθοῦς, Ἀγλαΐας, καὶ Θαλείας· καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. †

† Οἴμ' ὡς ἥδομαι] Τὸ οἴμοι καὶ ᾤμοι, ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνῃ μέν, ὡς ἐνταῦθα, οἴμ' ὡς ἥδομαι· καί (v. 925.), ᾤμοι σοφίας, ἧς †††) ἐμνήσθης. ἐπὶ δὲ λύπης ὡς τό, οἴμοι τάλας· καί (Plut. 850.),

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.

καί (v. 926.), ᾤμοι μανίας τῆς σῆς, πόλεώς τε. †

773. Διαγέγραπται] Κατέξυσται, ἀνῄρηται. ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰςαγωγαὶ τῶν δικῶν. ❖ Ἀπήλειπται, ἠφάνισται. Glossae.

775. Ἀποστρέψαις] Ἀποδιώξαις. Glossa.

---

*) Legebatur κεκαυμένης.

**) Legebatur αὐτόν.

***) Iacobsius ad Anthol. Pal. vol. III. p. 122. οὐκ ἄλλως. Non opus.

†) Legebatur ὁ κωμῳδῶν.

††) Sic bene Ernestius, p. 30. Legebatur τριηργάσατο. Sed idem male ἐλάξευσε paullo ante.

†††) Omissum erat ἧς.

Ἀντιδικῶν] *Κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γενόμενος ἐξέτιε τετραπλῆ. οἱ δὲ μὴ ἔχοντες τῖσαι, καθείργνυντο εἰς τὸ δεσμωτήριον**). *πολλοὶ δὲ τοῦτο πεπόνθασιν, ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος.* ✿ *Ἀντεγκαλῶν, ἀντιλέγων.* Glossa.

782. *Ὑθλεῖς*] *Ληρεῖς, φλυαρεῖς.* Glossa. ✿ *Ὕθλος, φλυαρία, μωρία, ληρό..:* Gloss. Vict.

Ἄπαιρε] *Ἄπελθε.* Glossa cod. Brunck. *Ἀπεῤῥ. ἀποφθείρου, πορεύου μετὰ φθορᾶς.* Gloss. Vict.

787. *Τίς ἦν ἐν ᾗ*] *Ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον.*

789. *Ἐπιλησμότατον*] *Ἔδει εἰπεῖν ἐπιλησμονέστατον. Ἄλεξις δὲ ἐπιλήσμη φησί, Κρατῖνος δὲ ἐπιλησμοσύνη***).

791. † *Γλωττοστροφεῖν*] *Τὴν γλῶτταν στρέφειν, δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρούσωμαι.* †

798. *Εὐσωματεῖ*] *Ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει, ὅτι φοβοῦμαι αὐτόν.* ✿ *Ναί, ἄκων ἐπιτρέπω.* Glossa quarti Reg.

799. *Εὐπτέρων*] *Ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων. ἢ κούφων, ὧν ὁ λογισμὸς ἵπταται. φρονουσῶν τὰ Κοισύρας· ἀντὶ τοῦ, μεγάλα φρονουσῶν.* 𝔖 *Εὐπτέρων δὲ τῶν εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπηρμένων. ὡς δραπετίδας δὲ αὐτὰς διαβάλλει****). ✿ *Εὐγενῶν, ἐπηρμένων.* Glossa.

Τῶν Κοισύρας] *Ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κα-*

---

*) Sic Ernestius p. 30. Legebatur *δικαστήριον*.

**) Legebatur *ἡ λέξις δὲ ἐπιλήσμη. φησὶ δὲ Κρατῖνος Ἐπιλήσμονι.* Mutatum e Suida in *ἐπιλησμότατον*, ubi scriptum: *Ἄλεξις δὲ ἐπιλήσμη. Κρατῖνος ἐπιλησμοσύνη.* Abreschius in Act. Trai. I. p. 229. *ἐπιλησμονή*.

***) Legebatur, *ὡς δραπέτας δὲ αὐτοὺς διαβάλλει.* Ernestius p. 12. haec cum iis, quae vulgo sequuntur, ad v. 811. reiiciebat, quo non pertinent. Itaque emendavimus. Sed quae postea legebantur, ea vide ad v. 811.

τήγετο. Glossa. ϑ Ἐκ ταύτης τῆς Κοισύρας ἡ τούτου γυνή. καὶ διὰ τοῦτο εὐγένιζεν ἑαυτήν. Glossa cod. Brunck.

800. † Ἀτὰρ μέτειμι] Καὶ δὴ μετέλθω, μεταχειρίσομαι, εἴ πως δυνηθῶ πεῖσαι αὐτόν. † Μετελεύσομαι. Gloss. Vict.

801. Ἐξελῶ] Ἐξελάσω. Glossa Brunck.

803. Ἆρά γ' αἰσθάνει] Κορωνὶς καὶ εἴςθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων δέκα. τούτων τὸ μὲν πρῶτον, δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ δεύτερον, ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ τρίτον, ἐξ ἐπιτρίτου τρίτου καὶ ἰάμβου*) δίμετρον βραχυκατάληκτον. τὸ τέταρτον, δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον, τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον, ἰαμβικὸν δίμετρον**) ἀκατάληκτον. τὸ ἕβδομον, ἐκ χοριάμβου καὶ διϊάμβου δίμετρον. τὸ ὄγδοον, χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον, ὅμοιον τῷ ἕκτῳ, ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον, χοριαμβικὸν δίμετρον καταληκτικόν, εἴτ' οὖν ἐκ χοριάμβου καὶ βακχείου.

808. Ἐκπεπληγμένου] Ἀντὶ τοῦ, ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. ϑ Οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. ✣ Ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου. Glossa.

809. Ἐπηρμένου] Μετεώρου καὶ ἑτοίμου πᾶν ποιήσειν, ὃ ἂν κελεύῃς. Glossa.

810. † Γνοὺς ἀπολέψεις] Οἱ λέγοντες τὸ***) γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβών, ἵνα συντάσσωσι τὴν γενικήν, οὐ καλῶς λέγουσιν†). ἐστὶ γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω· σὺ δὲ ἀπολάψεις, ἀντὶ τοῦ ††) ἀποκέρδησον, ταχέως ὅ τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπάξεις †††) τὸ γνούς, ἀντὶ τοῦ, οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ. δείκνυται γὰρ ἐκ τῆς κατα-

---

*) Addidi verba καὶ ἰάμβου.

**) Δίμετρον recte Aldina addit.

***) Articulum addidimus e MS. Reg. unde idem scholion Brunckius edidit in addendis p. 205.

†) MS. ἵνα τὴν γενικὴν συντάξωσι, ληροῦσιν.

††) MS. ἀπολάψεις καὶ ἀποκέρδησον.

†††) MS. ἐπαγάγῃς.

σκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσι. †~ ϑ Ἀποκέρδησον, ἐμφορηθῇς. Glossa.

Ἀπολέψεις] Ἀπολεπίσεις. ἐὰν δέ, ὡς ἐν*) τοῖς πολλοῖς, ἀπολάψῃς, ἐκπίῃ· ἀπὸ τῶν κυνῶν ἡ μεταφορά, ἢ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἢ ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος (Iliad. XVI. 161.)·

λάψαντες**) γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ.

811. Φιλεῖ γάρ πως] Ἔθος ἔχει, συμβαίνει γὰρ ἄλλως αποβαίνειν, ἢ προςδοκᾷ τις. ἀντὶ τοῦ εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβλητοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι. ϑ Ἀσύμβουλοι***) δέ, φησίν, ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται.

813. Οὔτοι μὰ τὴν Ὁμίχλην] Κορωνὶς ἑτέρα ὁμοία, οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οε', ὧν τελευταῖος,

πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ἐπὶ τῷ τέλει κορωνίς, καὶ ἑξῆς τὸ χοροῦ· ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορόν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι.

814. Κίονας] Ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους. ϑ Ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων, ὡς οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλὴ Μεγακλέους†). ϑ Λέγει δὲ ὅτι πάντα κατηναλωκώς, καταλέλοιπε μόνους††) τοὺς λίθους τῆς οἰκίας· αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατηνάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. † Ἄλλως. Ἐντεῦθεν δῆλον, ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. †

818. Δία νομίζειν] Εἶγε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. ταυτὰ δὲ†††) πειρᾶται τὸν υἱὸν δι-

---

*) Addidi ἐν.

**) Apud Homerum λάψοντες legitur.

***) Haec legebantur ad v. 799. post διαβάλλει. Huc pertinere monuit Ernestius p. 12.

†) Mendose scripta haec leguntur apud Suidam v. ἀλλ' ἔσθιε.

††) Μόνους Ernestius p. 30. addendum monuit e Suida in ἀλλ' ἔσθι' ἐλθών, vol. I. p. 106.

†††) Scholion hoc legebatur ad v. 816. Plena interpunctione post Σωκράτους facta, ταῦτα δὲ scriptum erat. Ernestius p. 30. deleto δέ, virgula interpungens, ταυτὰ correxit.

διάσκειν. καταγελᾷ δὲ αὐτοῦ, ὡς μὴ δεόντως μήτε Δία ὀμνύντος, μήτε νομίζοντος. τοῦ δὲ *Δία* τὸ α ἐκτείνεσθαί φησι *Σύμμαχος* Ἀττικῶς. ἐνδεῖ δὲ τοῦ*) χ.

Τηλικουτονί] Οἷον, τελείαν ἔχοντα τὴν ἡλικίαν, καὶ ὀφείλοντα πάντα εἰδέναι. ✠ Σὲ ἤδη τελείαν ἔχοντα ἡλικίαν. Gloss. Vict.

820. *Ἀρχαϊκά*] Μωρά, εὐήθη, λῆρα. † Ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπραγμόνων ἀνδρῶν. †

823. *Ὅπως δὲ τοῦτο*] Ὡς ἐπὶ τούτῳ φθονούντων**) τῶν διδασκάλων· ὡς καὶ αὐτὸς παρηγγέλθη (v. 144.)· *νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.* † Ἄλλως. Τηρεῖ τὰς παραινέσεις, ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους. † Ὅρα. Glossa.

824. *Ἰδοὺ τί ἐστι*] Πλησιάσας αὐτῷ φησὶ τὸ *ἰδού.*

828. *Αἰβοῖ*] Γελῶν λέγει τὸ *αἰβοῖ.* ἔστι γὰρ ἐπίῤῥημα σχετλιαστικόν.

829. *Ὁ Μήλιος*] Παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης. ἀλλ' ἐπεὶ Διαγόρας, Μήλιος ὤν, διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτη δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο Μήλιον αὐτὸν ἔφη. ϑ Ἄλλως. Ὁ Μήλιος, ἀντὶ τοῦ ὁ ἀσεβής. Διαγόρου***) γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου, ὃς χρήματα παραθέμενός τινι, καὶ ἀποστερηθείς, εἰς ἀθεΐαν ἐτράπη· διότι †)

---

*) Sic Ernestius. Legebatur τό. Caeterum vide adnotationem ad ipsius fabulae v. 816.

**) Legebatur ἐπὶ τῶν φρονούντων διδασκάλων. Ernestius p. 30. ἐπὶ μέγα φρονούντων. Nostra emendatio certissima. Vide scholia ad v. 141.

***) Legebatur Ἀρισταγόρου. Suidas in Σωκράτης Aristagoram dithyrambicum poetam commemorat. Verum scholiastes ad Ran. 323. ubi Aristophanes Diagorae cuiusdam meminit, sic scribit: διθυραμβοποιὸς ὁ Διαγόρας ποιητής, συνεχῶς Ἴακχε Ἴακχε ᾄδων. ἢ κωμικὸς διθυραμβικά, τουτέστι Διονυσιακὰ δράματα ποιῶν. Quare hic et apud Suidam pro Aristagora Diagoras restituendus. Vide infra schol. cod. Leid. et Harl. Aristagorae, comici poetae, Mammacythum simul cum tribus versibus heroicis inde forsitan depromptis commemorat Athenaeus p. 571. sed dubitat de lectionis veritate Casaubonus, quod Aristagoras comicus alibi non occurrat.

†) Legebatur ἢ διότι. Ἢ delendum vidit Ernestius p. 31.

*Μῆλον ἐπολέμησαν Ἀττικοί. οἳ δέ, ἐπειδή τις Διαγόρας**) *διθυραμβοποιὸς ἐξωρχήσατο τὰ Ἐλευσίνια· οἳ δὲ Μήλιον, τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μαθητῶν***)· *οἳ δὲ τὸν κομῶντα, τὸν δασύν.* ℈ *Ἄλλως, Ὁ Μήλιος. Τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰςιόντων ψυχὰς ὀξύνοντα****) *πρὶν εἰςελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων. μῆλα γάρ, τὰ θρέμματα. οἳ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἳ δὲ παρέλαβον οὕτω. Διαγόρας ὁ Μήλιος, ὃς τὸ πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ*†) *ὑπό τινος ἀποστερηθείς, ἐπὶ τὸ ἄθεον ἐξέδραμεν, ἐφ᾽ ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες τὴν Μῆλον ἐκάκωσαν.* ℈| *Ἄλλως. Διαγόρας γέγονέ τις βλάςφημος εἰς τὸ θεῖον, Μήλιος. καί ποτε, φασίν, ἐν πανδοκείῳ εὑρεθείς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ᾽ ἄγαλμα Ἡρακλέους ἄγε, φησί, τριςκαιδέκατον ἡμῖν ἐπιτέλει ἄεθλον, καὶ ἕψησον τὸν φακόν.* ✤ *Ἄλλοι δέ φασιν ὡς οὗτος ὁ Διαγόρας διδάσκαλος ἦν Σωκράτους.* Schol. cod. Leid. et Cant. 2.

832. *Πείθειν*] *Οὐκ ἔστι τὸ πείθειν ἀντὶ τοῦ πείθεσθαι, ὥς τινές φασιν, ἵνα τὴν δοτικὴν συντάξωσιν· ἀλλ᾽ ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ ἐλήλυθας, οὕτω· σὺ δὲ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας ἀνδράσι χολῶσιν, ὥςτε πείθειν αὐτούς σε, τουτέστιν, οὕτω τῆς αὐτῶν μανίας μετέσχες, ὥςτε καὶ πείθειν σε περὶ τῶν ματαίων.* Schol. C.

834. *Ὑπὸ τῆς φειδωλίας*] *Ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν, ὅτι οὐ διὰ ἀρετὴν ἐποίουν, ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ᾽ ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ὑπὸ φειδωλίας φησίν· ἅμα δέ, δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας εἶπε φειδωλίας.*

837. *Καταλούει μου*] *Ἐντρυφᾷς, καταναλίσκεις τὴν περιουσίαν.* ℈ *Τὸ δὲ καταλούει, καταναλίσκεις εἰς λουτρά· ἤδη γὰρ ὥςπερ τεθνεῶτός μου καταλούει. ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ᾽ οἶκον*

---

*) Hic quoque legebatur *Ἀρισταγόρας*.

**) Ernestii emendatio. Legebatur *τῶν Μηλίων*, quae verba Suidas omittit.

***) Hoc verbo etiam Suidas utitur: quo minus cum Ernestio p. 31. *πραΰνοντα* corrigendum. *Ὀξύνειν* est *erudire*.

†) *Δὲ* additum e Suida.

καθαρμοῦ χάριν *). ϑ Ἄλλως. Δαψιλῶς ἀναλίσκεις μοὺ τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾶς, ὡς καὶ τοῦ βαλανείου διὰ τρυφὴν ὄντος. ✣ Δαπανᾷς, ἀφανίζεις. Glossa.

840. Ἀληθὲς] Ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγει· ἐὰν δὲ ὀξυτόνως, τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας.

844. Παρανοίας] Παραφροσύνης. Glossa.

Εἰςαγαγὼν] Πρὸς τὸν πατέρα δικάσομαι καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω. ϑ Ἀντὶ τοῦ εἰς τὸ δικαστήριον εἰςαγαγὼν κατηγορήσω ὡς παραφρονοῦντος. ✣ Εἰς δικαστήριον. Glossa.

Ἕλω] Νικήσω, λαβῶ. Glossa.

845. Σοροπηγοῖς] Τουτέστι, τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονεύοντα τῷ θανάτῳ. ϑ Ἄλλως. Τοῖς σοροποιοῖς, τοῖς τὰς**) σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον· καὶ δέον αὐτῷ πρὸς τὸ θανεῖν ***) τὰ ἐπιτήδεια κατασκευάζειν. ✣ Τοῖς νεκροθάπταις· ἄξια γὰρ θανάτου πράττει. Glossa.

852. Τοὺς γηγενεῖς] Διὰ τὸ ὠχροὺς καὶ νεκρώδεις εἶναι. ἢ ἀσεβεῖς καὶ θεομάχους, διὰ τοὺς γίγαντας. ✣ Γηγενεῖς αὐτοὺς καλεῖ, ὡς ὑπὸ γῆν διατρίβοντας· ἢ ὡς ἀσεβεῖς καὶ θεομάχους. τοιοῦτοι γὰρ ἦσαν καὶ οἱ γίγαντες. Schol. MS.

856. Καταπεφρόντικα] Εἰς τοὺς φροντιστὰς ἠνάλωσα. ὡς εἰ ἔλεγε, καταπεφρόνηκα. ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. ✣ Τοῖς φροντισταῖς ἀφῆκα. Glossa quarti Reg.

857. Τέτροφας] Κατέφαγες, ἐτράφης. Glossa.

858. Ὥςπερ Περικλέης] Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἠνάλωσε. φασὶ δὲ ὅτι καὶ λογισμοὺς διδούς, τάλαντα εἴκοσιν ἁπλῶς εἶπεν †) εἰς τὸ δέον ἀνηλωκέναι. φησὶ δὲ Ἔφορος, ὅτι μετὰ

---

*) Verba ἐπεὶ usque ad χάριν legebantur post ὄντος.

**) Edd. vett. τούς.

***) Ernestius p. 31. praeter necessitatem θάπτειν.

†) Legebatur εἰπεῖν. Mutatum e Suida in δέον, qui primum scholion, sed paullo aliter, descripsit. Vide hunc etiam in ἔφοροι, et εἰς τὸ δέον. Decem talenta numerat Plutarchus in Pericle. Eum

ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι, Κλεανδρίδην *) μὲν ἐδήμευσαν, Πλειστιάνακτα δὲ ιε' ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν, ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ ἐνδεές. ¶ Ἄλλως. Περικλῆς, Ἀθηναίων στρατηγός, χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο, συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας, ἠρωτᾶτο, ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. ¶ Ἄλλως. Περικλῆς τοῖς ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ **) καὶ Πλειστιάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν, ἔλεγεν, εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστιάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτούς, διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς, δωροδοκήσαντας ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι.

859. Ἴθι, βάδιζε. πορεύου, παραγένου. Gloss. Vict.

Εἶτα τῷ πατρί] Ἀντὶ τοῦ, ἔχεις ἀπολογίαν, ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες. ὠφελήθητι καὶ ἁμάρτανε δι' ἐμέ.

861. Τραυλίσαντι] Ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν. Ἡλιαστικὸν δέ, ἀντὶ τοῦ ἐκκλησιαστικόν ***). ἡλιαία δέ, τὸ δικαστήριον, διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι. οὐκ ἵστατο δὲ τῶν δικαστικῶν †) ὁ μισθός.

---

vide cap. 22. 23. p. 634. seq. ed. Reisk. Adde Thucyd. II. 21. et grammaticum in Bibl. Coisl. p. 608.

*) Κλέανδρον Suidas in δέον. Cleandridam idem in ἐς τὸ δέον. Vid. Duker. ad Thucyd. VI. 93.

**) Legebatur Κλεάνδρῳ.

***) Dukerus et Ernestius p. 31. δικαστικόν. Scholiastae errorem esse monuit Boeckhius in Oecon. publ. Athen. vol. I. p. 248. et inde Schoemann. de comit. p. 69. Vide etiam praefationem nostram.

†) Kusterus scribendum putat aut τῶν δικαστῶν, aut ὁ δικαστικὸς μισθός, ut in schol. ad Ran. 140. et ad Equit. 255. et apud Suidam in ἡλιασταὶ est. Earumque coniecturarum alterutram veram censet Ernestius p. 31. Sed ita schol. ad Plut. 329. οὐχ

863. *Διασίοις*] Ἑορτὴ τοῦ Διός. Ἅμαξις δέ, τὸ μικρὸν ἁμάξιον, ἢ πλακοῦντος εἶδος. ✤ Διάσια, ἑορτὴ τοῦ Διὸς παρ' Ἀθηναίοις. ἅμαξις δὲ πλακοῦντος εἶδος, ἣν νῦν κοπτὴν φαμέν. Σύμμαχος δὲ τὸ μικρὸν ἁμάξιον. Schol. MS. Rav.

864. *Ἀχθέσει*] Προαναφωνεῖ αὐτῷ, ἃ μέλλει ποιήσειν. ℈ Ἀντὶ τοῦ, λυπηθήσῃ ποτέ, ἂν μάθω. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει, εὖγ' ὅτι ἐπείσθης.

867. *Νηπύτιος γάρ*] Ἀντὶ τοῦ νήπιος. ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης, ἵνα καταπλήξῃ τὸν νεώτερον νῦν εἰςελθόντα. ✤ Ἄφρων, ἀνόητος. Gloss. Vict.

868. *Καὶ τῶν κρεμαθρῶν*] Λέγει δὲ τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. ℈ Κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ καταφαίνεται. ℈ Ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν *).

869. *Αὐτὸς σὺ τρίβων*] Ἀλλὰ σύ γ' αὐτὸς ἐκ τῶν κρεμαστῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος **).

871. *Ἰδοὺ κρέμαιό γε*] Διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐρεῖ ***) μιμούμενος, ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε.

872. *Καὶ τοῖσι χείλεσιν διεῤῥυηκόσι*] Τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησὶ διακεχηνόσι †) τοῖς χείλεσι. ✤ Διακεχηνόσι. Glossa.

874. *Κλῆσιν*] Τὴν μαρτυρίαν. Χαύνωσιν δέ, λύσιν τῶν δικῶν, καὶ οἷον ἀπάτην, καὶ κενὰ ††) ῥήματα, ἀναπείθοντα τοὺς ἀκούοντας. ℈ Ἄλλως. Χαύνωσιν ἀναπειστηρίαν, ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανούς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ, καὶ χαύνους καὶ ἀσθε-

---

ἵστατο τοῦ δικαστικοῦ ὁ μισθός, ubi de v. ἵστατο vid. Hemsterh. Τὰ δικαστικὰ sunt sportulae. Vide Casaubonum ad Athen. VI. 8.

*) Haec omnia legebantur ad v. 869. post κρεμάμενος. Errorem vidit Ernestius p. 11. Postrema sic scripta sunt in edd. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ γράφεται, ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας. Duo diversa scholia sunt.

**) Haec male legebantur ad v. 867. post εἰςελθόντα. Monuit Ernestius p. 11.

***) Sic scribendum coniecit Ernestius p. 31. Legebatur ἔριν.

†) Sic recte Ernestius p. 31. pro διακεχηνώς.

††) Legebatur οἷον ἀπάτῃ τὰ κοινά. Mutatum e Suida in ἀναπειστηρίαν et χαύνωσιν.

νεῖς ποιήσῃ, διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστάς, ὡς ἄρ' ἀληθῆ λέγει.

875. *Καί τοι ταλάντου*] *Ἀξιοπιστεύονται* *) *ἀεὶ οἱ διδάσκαλοι λέγοντες, ἔλαττον τοῦδε οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προνοήσασθαι τῶν κοινῶν μαθημάτων, ὅσων προνοοῦσι μάλιστα.*

876. *Θυμόσοφός ἐστι*] *Ἐκ φύσεως ἔχει σοφίαν.* ℊ *Ἐκ τοῦ ἰδίου θυμοῦ σοφός, καὶ οὐκ ἐκ μαθήσεως.*

880. *Σιδίων*] *Ἐκ τῶν λεπύρων τῶν ῥοιῶν· τὰ παιδία* **) *ἐκ μὲν τῶν δερμάτων περιέτεμνον τροχοὺς καὶ ἁμάξια, ἐκ δὲ τῶν ῥοιῶν* ***) *ὅταν καταφάγωσι τὰ ἐντός, ἐκ τῶν λεπύρων βατράχους γλύφουσιν. εἶτα τὸ πῶς δοκεῖς θαυμάζων προφέρεται καθ' ἑαυτόν* †). *βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.*

881. *Μαθήσεται*] *Γνώσεται, ὅντινα δεῖ μαθεῖν.* Glossa quarti Reg.

882. *Τὸν ἥττονα. Ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα.* Gloss. Vict.

888. *Χώρει δευρί. δεῖξον σαυτόν*] *Διπλῆ κορωνίς, ἀποχωρησάντων ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορός, καὶ ἕπεται εἴςθεσις ἀναπαιστικὴ* ††) *τῶν ὑποκριτῶν· διὸ καὶ* †††) *τὰ πρόςωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ὑπόκεινται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι, δίκην ὀρνέων διαμαχόμενοι.* ℊ *Τοῦ δὲ χοροῦ τὸ πρόςωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται.* ℊ *Ἄλλως. Χώρει δευρί. Εἴςθεσις διπλῆς κατὰ σχῆμα δικανικὸν ἐκ κώλων ἀναπαιστικῶν με΄. ὧν τὸ κη΄, τὸ λε΄, καὶ τὸ λθ΄, μονό-*

---

*) Suidas in *ἀναπειστηρίαν* sic scribit: *ὁ δὲ Ὑπέρβολος ἐκωμῳδεῖτο ὡς ἀπαίδευτος καὶ ὀψιμαθής.* Tum sequitur hoc scholion ita, ut illud inde emendavimus, nisi quod *ἀεὶ* abest, et *ἔλαττον σου δὲ* legitur. In scholiasta legebatur *ἀξιόπιστόν τι*, et *ἐλαττοῦνται τόνδε.* De verbo *ἀξιοπιστεύεσθαι* v. Lobeck. ad Phryn. p. 567.

**) *Τὰ παιδία* et *περιέτεμνον* additum e Suida in *σίδια.*

***) Omissis verbis *ἐκ δὲ τῶν ῥοιῶν*, quae e Suida addidimus, legebatur *ὅταν δέ.*

†) Verba *καθ' ἑαυτὸν* non habet Suidas in *πῶς δοκεῖς.*

††) Legebatur *εἰς θέσιν ἀναπαιστικήν.*

†††) Sic Ernestius p. 32. Legebatur *καὶ διά.*

μετρα ἀκατάληκτα. τῶν δύο προςώπων ὡς ἐπιτοπλεῖστον δίμετρον κῶλον ἀποτελούντων, ὧν τὸ τελευταῖον,

κλαύσει· τὴν χεῖρ' ἐπιβάλλεις,

ἑφθημιμερές. ἰστέον δέ, ὅτι τὸ κη' κῶλον τετράβραχυν ἔχει, ἤτοι προκελευσματικόν, τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας, ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

890. Ἴθ' ὅποι χρήζεις] Τοῦτο ἐκ Τηλέφου Εὐριπίδου·

ἴθ' ὅποι χρήζεις· οὐκ ἀπολοῦμαι
τῆς σῆς *) Ἑλένης οὕνεκα.

891. Ἐν τοῖς πολλοῖσι] Ἐνώπιον πολλῶν. Glossa. Ἐνώπιον πολλῶν παρόντων. Gloss. Vict.

896. Διὰ τουτουσί] Ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν. ⁊ Διαβάλλει τοὺς Ἀθηναίους, ὡς ἀδικίᾳ χαίροντας, τὸ δὲ δίκαιον παρορῶντας. Schol. quarti Reg.

905. ✠ Τὸν πατέρα οὐκ ἀπώλεσε δήσας. Τὸν πατέρα αὐτοῦ Κρόνον οὐκ ἔφθειρε δεσμεύσας. Gloss. Harl. 5.

907. Χωρεῖ] Αὔξει, προβαίνει. Glosaa.

Δότε μοι λεκάνην] Ἵνα τὴν χολὴν ἐμέσω. ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. ⁊ Ἢ ἵνα ἐμέσω. χολὴ γάρ μοι ἐπιπλέα **) διὰ τὰ αὐτοῦ ῥήματα.

908. Τυφογέρων] Μάταιος γέρων, κενόδοξος. Glossa.

Ἀνάρμοστος] Ἀηδής, ἀνεπιτήδειος. Glossa. Ἄῤῥυθμος, ἀηδής, ἄμουσος. Gloss. Vict.

909. ✠ Ἀναίσχυντος. Ἀναιδής. Gloss. Vict.

910. Ῥόδα μ' εἴρηκας] Ἀντὶ τοῦ, ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί.

Βωμολόχος] Κακοῦργος, ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπτιθέμενα *) θύματα, ἢ τοὺς θύσαντας, ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδύ, ὡς Ἀριστοτέλης ἐν δευτέρῳ Ἠθικῶν (cap. VII.),

---

*) Σῆς vulgo omissum recte addunt Ald. et Iunt.
**) Legebatur ἐπιπλέει.
***) Aldus ἐπιθέμενα.

ὑπερβολή. βωμολόχοι τοίνυν οἱ *) ἐν τοῖς βωμοῖς ἐρχόμενοι **), καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν, πολλοῖς τισὶ λόγοις χρώμενοι καὶ ματαίοις.

911. Κρίνεσιν] Ὡς ἀπὸ τοῦ τὸ κρίνος ***) κατὰ μεταπλασμόν. ✠ Κρίνεσι. Κρίνον κοινῶς· κρίνος Ἀττικῶς, καὶ κλίνεται τοῦ κρίνεος, νους. ἡ δοτικὴ τῶν πληθυντικῶν τοῖς κρίνεσίν ἐστι. Πατραλοίας. πατροτύπτης. Gloss. Vict.

913. Προτοῦ γ'] Προτοῦ χρυσῷ †). μολίβδῳ δέ, ἀτιμίᾳ· ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει·

νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.

916. Διὰ σὲ δὲ φοιτᾶν] Τοῦ αὐτοῦ δεῖν πάντα εἶναί φασι τοῦ ἥττονος λόγου. οὐ θέλει γάρ, φησί, τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν, ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα.

920. Αὐχμεῖς. πτωχεύεις. αἰσχρῶς. ἀτίμως. Gloss. Vict.

922. Τήλεφος εἶναι] Διαβάλλει Εὐριπίδην, ὡς πτωχὸν εἰςενεγκόντα τὸν Τήλεφον. ℈ Τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰςήγαγε· περὶ οὗ καὶ κωμῳδεῖται. ℈ Ἄλλως. Ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων, ὅτε εἰς Τροίαν ἀπήρχοντο, τῶν Ἑλλήνων, καὶ ††) δῃούντων τὴν αὐτοῦ γῆν ἀντὶ τῆς Τροίας, Ἀχιλλεὺς ἔτρωσεν· καὶ πάλιν ἀπορροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας ὁ τρώσας ἰάσεται ἀνελούσης, παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς θεραπείας ἠξίωσε. δυςτυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα, καὶ προςαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν, ἄρτους καθαροὺς †††) ἢ ξηροὺς τρώγων, Πανδελετείους

---

*) Articulus additus ex Aldina.

**) Ruhnkenius ad Timaeum v. βωμολόχος scribit ἑζόμενοι, quo non opus.

***) Legebatur ἀπὸ τοῦ κρίνος. Aldus τῶν κρίνου. Emendavimus e Suida in κρίνεσιν.

†) Aldus πρὸ τοῦ χρυσοῦ.

††) Καὶ collocatum erat ante τῶν Ἑλλήνων, quae verba Ruhnkenius post πλανηθέντων collocanda censuit. In Telephi res argumenti natura delatus, non iniucunda cognitu attulit Henr. Ed. Fossius in commentatione de Gorgia Leontino p. 85. seqq.

†††) Ruhnkenius κραύρους, de qua voce dixit ad Timaei lex. p. 168.

γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω, καὶ ὡς ἄτιμον, καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος, γράφων ψηφίσματα *). ℑ Πανδελετείους οὖν οὕτως εἶπεν, ἀντὶ ἄρτων πανουργίαν σιτούμενος· μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν **). οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. ✣ Πανδελετείους δυςτρόπους. ὁ Πανδέλετος τῶν περὶ τὰ δικαστήρια ἐστὶ διατριβόντων συκοφαντῶν. Schol. cod. Rav. Παρ' ὑπόνοιαν, ἀντὶ τοῦ ἄρτους. Gloss. Vict.

928. Λυμαινόμενον] Ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ Ἀττικοῖς ***) σύνηθες, οὐχί, τὰ μειράκια λυμαινόμενον· πρὸς ὃ καὶ τὸ χ.

929. ✣ Τοῦτον. τὸν Φειδιππίδην. Gloss. Vict.

Κρόνος] Ἀρχαῖος, λῆρος. ✣ Ἄφρων. Glossa. Μωρός, ἀφυής. Gloss. Vict.

933. Ἐπιβάλλεις. αὐτῷ. Gloss. Vict.

934. Παύσασθε μάχης] Ἔκθεσις τῆς διπλῆς συστηματική, εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιε'· ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ε'. καὶ ἐν ἐκθέσει †) ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα, τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ· ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἕξ, δίμετρα ἀκατάληκτα· τὸ δὲ τελευταῖον, ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει ††) τοῦ δευτέρου δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

---

*) Legebatur γράφων ψήφων ψηφίσματα. Ψήφων Suidae et sequentis scholii auctoritate deletum.

**) Aldina χείροσιν, ut in scholiis ad Vesp. 1231. ad Aves 767. apud Suidam in οὐρανία αἴξ, et alibi. Χείρωσιν vulgo Suidas in Πανδελετείους γνώμας et Ῥαδαμάνθυος, et Athenaeus p. 553. Vide Casaub. XII. 13. Schweigh. ad Athenaeum vol. V. p. 162. VI. p. 14. Gaisford. ad Hephaest. p. 17.

***) Sic pridem critici hic et in Suida v. λυμαινόμενον pro αὐτοῖς. V. Ernest. p. 31. Ἀττικὸς et αὐτὸς confundi observavit Hemsterhusius ad Plut. p. 256.

†) Legebatur εἰςθέσει.

††) Τῷ τέλει recte addit Aldina.

939. *Κρίνας φοιτᾷ*] Ἀντὶ τοῦ φοιτήσῃ. ἐὰν δὲ ᾖ φοιτᾶν ἀπαρεμφάτως, λείπει ποιήσω· ὡς τό, τὸν παῖδα φοιτήσω τῷ ἐλλογιμωτάτῳ. ✠ Ἐκλεξάμενος ἕνα ὑμῶν παρ' αὐτῷ. Gloss. Vict.

948. *Ὑπ' ἀνθρηνῶν*] Οἱ ποιηταὶ τὰς μελίσσας οὕτω συνεχῶς λέγουσιν. ὁ δὲ Ἀριστοτέλης (Hist. Anim. IX, 40. 42.) συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί *). κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης, ὅμοιον σφηξί.

950. *Νῦν δείξετον*] Εἴςθεσις μέλους χοροῦ προῳδική, στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τό,

ὦ καλλίπυργον σοφίαν,

ἐκ κώλων χοριαμβικῶν διαφόρως κεκολλημένων ί. ὧν τὸ πρῶτον, δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δεύτερον, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ τρίτον, ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ τέταρτον, ἐκ χοριάμβου καὶ βακχείου. τὸ πέμπτον, ἀντιστρόφως τῷ πρώτῳ, ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ἕκτον, ἐξ ἀντισπάστου **) καὶ κρητικοῦ, εἴτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον, χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον, ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον, καὶ τὸ ἥμισυ αὐτοῦ, τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον, ἐκ χοριάμβου καὶ διϊάμβου. τὸ δέκατον, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος.

Τῷ πισύνω] Οἱ θαῤῥοῦντες. *Φροντίσι*, σκέψεσι. *Γνωμοτύποις*, ταῖς κατὰ νοῦν τυπουμέναις. Glossae.

957. *Ἀνεῖται*] Κεῖται, δέδοται· νῦν πρόκειται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κινδυνεῦσαι. ἤγουν παράστασις καταλέλειπται.

922. *Λέξω τοίνυν*] Εἴςθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἕν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ', ὧν τελευταῖος,

---

*) Haec habet etiam liber Ravennas ita, ut edidimus, nisi quod pro Ἀριστοτέλης scriptum Ἀριστοφάνης. Vulgo, οὕτως οἱ ποιηταὶ τὰς μελίσσας συνεχῶς. V. schol. ad Vesp. 1075.

**) Legebatur ἀντισπαστικοῦ.

ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.

τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται, ἐπεὶ αὐτο ἄγαν Ἀριστοφάνης ἀπεδέχετο, ὡς εὖ πεποιημένον *). ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

963. *Λέγων ἤνθουν*] Εὐδοκίμησα λέγων **).

Γρύξαντος] Μουγγρίσαντος. Glossa.

965. *Εἰς κιθαριστοῦ*] Οὕτως Ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ Ἀθηναῖοι τότε ***), μὴ φροντίζοντες τοῦ καλύπτεσθαι.

966. *Κωμήτας*] Τὸ χ, ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγεν.

Κριμνώδη] Ἀντὶ τοῦ, παχεῖαν σύστασιν ἔχοντα· παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. ϑ Κρίμνος γὰρ εἶδος ἀλεύρου. ✠ *Κριμνώδη*. Γράφεται καὶ *κριμνώδη* καὶ *κρυμώδη*. καὶ *κριμνώδη* μέν, ἤγουν μέγιστα καὶ παχέα δίκην κρίμνων, ἤγουν κριθῶν. οἱ δὲ κρίμνον φασὶ τὰ παχύτερα τῶν ἀλεύρων· τὰ γὰρ παχύτερα τῶν ἀλεύρων καὶ πιτυρώδη καὶ κριθώδη. εἰ δὲ γράφεται *κρυμώδη*, ἀντὶ τοῦ ψυχρότερα. Schol. Vict. *Κριμνώδη*. Κρίμμα εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται. τοῦτο ἄλευρον. Schol. Rav. Ψυχρότατα. Glossa quarti Reg.

967. *Τὼ μηρὼ μὴ ξυνέχοντας*] Ἀντὶ τοῦ, ἀνειμένως ἑστῶτας, πρὸς τὸ μὴ θλίβειν τὸ μόριον. ϑ Μὴ ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς.

968. *Παλλάδα*] Εἴδη ᾀσμάτων ἀμφότερα, τὸ *Παλλάδα περσέπολιν δεινάν* †), καὶ τὸ *τηλέπορόν τι βόαμα*,

---

*) Legebatur sic: τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται, ἐπεὶ εὐδοκίμησε λέγων, ὡς, ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη 'νενόμιστο. τοῦτ' οὖν ἄγαν Ἀριστοφάνης ἀπεδέχετο, ὡς εὖ πεποιημένον. Duo scholia pessime commixta. Emendationem nostram firmant, quae Hephaestio et scholiastes ad Plutum 487. de metro Aristophaneo dixere. Versus ὅτ' ἐγώ, non exempli loco allatus erat, sed ut eum interpretaretur scholiastes. Explicat autem verbum ἤνθουν.

**) Vide ad superius scholion.

***) Μανθάνειν, quod post τότε legebatur, Ernestius p. 32. tollendum monuit.

†) Legebatur περσέπτολιν, ut etiam infra semper et apud Sui-

τὸ μὲν οὖν πρότερον Λαμπροκλέους εἶναί φασιν Ἀθηναίου, τοῦ Μίδωνος υἱοῦ. ἔχει δὲ οὕτως·

Παλλάδα περσέπολιν κλήζω *) πολεμαδόκον
ἁγνάν,
παῖδα Διὸς μεγάλου δαμάσιππον.

τὸ δὲ τηλέπορόν τι βόαμα μὴ εὑρίσκεσθαι ὅτου πότ' ἐστίν. ἐν γὰρ ἀποσπάσματι εὑρεῖν Ἀριστοφάνη ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ Κυδίου Ἑρμιονέως,

τηλέπορόν τι βόαμα **) λύρας.

ϑ Ἄλλως. Οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται, ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως·

Παλλάδα περσέπολιν, δεινὰν θεόν, ἐγρεκύδοιμον,
ποτικλήζω, πολεμαδόκον, ἁγνάν,
παῖδα Διὸς μεγάλου δαμάσιππον ***).

---

dam in τηλέπορον; tum θεὰν pro δεινάν. Suidas autem Ἀθάναν. Afferunt etiam Tzetzes Chil. I. 683. et schol. Aristid. p. 538. Dind. 203. Frommel. Et hic scholiastes quidem habet: Παλλάδα περσέπτολιν κλεισοπολεμοδόκον, ἁγνὴν παῖδα Διὸς μεγάλα δαμνηπῶλον ἄϊστον παρθένον. Sed in aliis eius codd. est ἁγνὰν et ἁγίαν et μεγάλαι et μεγάλην et ἄριστον. Apud Tzetzam prior versus sic ut in scholiis Aristophanis scriptus, alter hoc modo: παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον παρθένον. Kleinius ad fr. Stesichori p. 137. ex Tzetza δάμνοπλον affert, de qua scriptura nihil adnotavit Kiesslingius. Mihi haec scribenti non ad manus erat editio princeps. Disseruerunt, sed ut nihil promoverent, de hoc fragmento et Kleinius et Blomfieldius in Museo critico Cantabr. fasc. VI. p. 267. sive in Gaisfordii poet. min. ed. Lips. vol. III. p. 344. Nec profecto ex tam corruptis pannis certum quid confici potest. Quamquam illud quidem non dubitandum videtur, quin versus omnes fuerint heroici. Vnde, si coniecturae locus conceditur, sic fere haec scripta fuisse suspicere:

Παλλάδα περσέπολιν, δεινὰν θεόν, ἐγρεκύδοιμον,
ἀοιδαῖσι ποτικλήζω, πολεμαδόκον, ἁγνάν,
παῖδα Διὸς μεγάλου, δαμνήπωλον, δαμάσιππον,
παρθένον.

Δαμνήπωλον et δαμάσιππον coniuncta non magis offensioni esse cuiquam poterunt, quam Sophoclis illud de Colono, εὔπωλον, εὔιππον.

*) Legebatur κλήϊζω, et mox in edd. vett. ἁγνόν.

**) Legebatur Κυδίου et βόημα. Vide p. seq.

***) Legebatur δεινήν et ποτικλήϊζω.

καὶ κατὰ *Λαμπροκλέα* ὑποτίθησι κατὰ λέξιν. τὸ δὲ *τηλέπορον βόημα*, *Κυδίου* *) τοῦ Ἑρμιονέως κιθαρῳδοῦ ἀπό τινος τῶν ᾀσμάτων,

τηλέπορόν τι βόαμα λύρας.

☩ Ἀρχὴ ᾄσματος *Φρυνίχου*. ὡς *Ἐρατοσθένης* φησί. *Φρύνιχος* δὲ αὐτοῦ τούτου μνημονεύει ὡς *Λαμπροκλέους* ὄντος,

Παλλάδα περσέπολιν κλῄζω πολεμαδόκον ἁγνάν. Schol. MS. Rav.

969. *Τὴν ἁρμονίαν*] Τὴν κιθάραν, ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας, οὐκ ἀνειμένης, ὡς οἱ νέοι ἐπενόησαν.

970. *Βωμολοχεύσαιτο*] Φλυαρῆσαι. Glossa.

Κάμψειεν] Ἀντὶ τοῦ, εἰ κακοηθεύσαιτο· κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀνενέγκοιτο **)· οἷον καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς. ☩ Ἐν κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προφέροι ***), παρηχήσειε παρήχησιν τοῦ μέλους. Glossa.

971. *Κατὰ Φρῦνιν*] Ὁ Φρῦνις κιθαρῳδὸς Μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρὰ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθήναια ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείτου †) μαθητής. ὁ δὲ Ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἤκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ *Ἴστρος* Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείτῳ. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοί, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησί, καὶ *Ἀριστοκράτης* ††). ϑ Καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός.

---

*) Sic Bernhardy apud Buttmannum in nova ed. Heindorfii dialogorum selectorum Platonis vol. I. p. 67. ubi videnda, quae adnotavit Buttmannus. Legebatur *Κυδίδου*.

**) Suidas in βωμολοχεύσαιτο habet προενέγκοιτο. Paullo ante edd. vett. κακοηθεύσειτο.

***) Legebatur παραφέρει.

†) Suidas in *Φρῦνις*, paullo auctior scholiasta nostro, hunc Ἀριστοκλείδην vocat.

††) Burgesius in Diar. class. XLIV. p. 280. *Φερεκράτης*. Valckenarius apud eumdem Ἀριστόξενος.

972. *Πολλάς*] Πληγὰς δηλονότι.

973. *Ἐν παιδοτρίβου*] Εἰς τὸν τόπον, ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες.

Προβαλέσθαι] Τουτέστιν, εὐκοσμίως καθεσθῆναι· ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. ✠ Ἐνδύσθαι, περιβαλέσθαι. Προαγαγεῖν, προτείνειν.

974. *Ἀπηνές*] ἀναίσχυντον, ἀπαίδευτον. Glossa. Σκληρόν. Glossa Vict.

975. *Συμψῆσαι*] Ἀντὶ τοῦ συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων δὲ τὸν τόπον, ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψειαν τοῖς ἐρασταῖς. παρεγίνοντο γάρ, ὥςτε γυμνοὺς ὁρᾷν τοὺς ἐρωμένους. ✠ Καθομαλίσαι τὴν κόνιν. Glossa.

976. *Εἴδωλον*] Τύπον. Ἥβης, τῶν αἰδοίων. Glossae.

978. *Χνοῦς.*] Χνοῦς, τὰ λεπτὰ τῶν ἀχύρων, καὶ χνοῦς λέγεται τοῦ γενειᾷν ἀρξαμένου. Schol. Vict.

Μήλοισιν] Κυδωνίοις. Glossa Reg. C. Προβάτοις. Gloss. cod. Brunck.

979. *Φυρασάμενος*] Μηκύνας τῇ μεταβολῇ. Glossa. μαλάξας, μολύνας. Gloss. Vict.

980. *Προαγωγεύων*] Μαστροπεύων. Glossa.

981. *Κεφάλαιον τῆς ῥαφανῖδος*] Ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια παρῃτοῦντο ταῦτα. *Κεφάλαιον* δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδές φησι, διὰ τὴν κεφαλήν*). οὐκ ἔτεμνον**) δὲ κατὰ μῆκος, ὡς νῦν, ἀλλὰ κατὰ κύκλον τὴν ῥαφανῖδα***).

983. *Κιχλίζειν*] Ἀντὶ τοῦ, λιπαροὺς ὄρτυγας τρώγειν, κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾷν καὶ ἀμέτρως. ✠ Λιπαροὺς ὄρτυγας ἐσθίειν, ἤγουν κίχλας. ἄλλοι δέ, ἀτάκτως γελᾷν. Schol. Rav.

---

*) Verba φησί, διὰ τὴν κεφαλήν hic collocavi, quae reiecta erant post κύκλον. Nam Suidas in ῥαφανίς sic scribit: κεφάλαιον δὲ ῥαφανῖδος τὴν κεφαλήν φησι, τὸ πρὸς τὰ φύλλα δηλονότι καυλῶδες.

**) Hic et apud Suidam in ῥαφανίς legebatur ἔτεμον.

***) Verba τὴν ῥαφανῖδα pro his, φησί, διὰ τὴν κεφαλήν, addidi e Suida.

984. *Τεττίγων ἀνάμεστα*] Ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, τουτέστι τοὺς κρωβύλους*). ∮ Ἄλλως. Οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ Διϊπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια. ∮ Τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον**) ὅτι αὐτόχθονες ἦσαν οἱ Ἀθηναῖοι, ὡς οἱ τέττιγες. καὶ *Θουκυδίδης* (I. 6.)· *καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοὺς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐν ἔρσει κρωβύλων ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν.*

985. *Κηκείδου*] Ἀρχαῖος διθυραμβοποιός, οὗ μέμνηται *Κρατῖνος* ἐν Πανόπταις. τὰ δὲ *βουφόνια* παλαιὰ ἑορτή, ἣν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει, ἀψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ τῶν Διϊπολίων***). ∮ Ἄλλως. Ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διϊπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. Θαύλωνα †) δέ τινα, ὡς εἶχε, τῷ πελέκει ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ *Ἀνδροτίων* μέμνηται διὰ τῆς τετάρτης. ✠ *Κυκήδου*. Κυκήδης παλαιὸς ἦν ποιητής, ἀφελὴς καὶ ἄχαρις. Schol. cod. Leid.

986. *Μαραθωνομάχους*] Τοὺς ἐν Μαραθῶνι τροπωσαμένους ††) τὴν Δαρείου στρατιάν, ἣν Δᾶτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ *ἐντετυλίχθαι*, τὸ ἐναντίον τῷ γυμνοῦσθαι. ∮ Ἐγκεκαλύφθαι †††).

988. *Ὥςτε μ' ἀπάγχεσθαι*] Τότε δηλονότι. Glossa. Πνίγεσθαι. Glossa cod. Brunck.

---

*) Sic iam a Biseto correctum pro κρωβανούς.

**) Ita recte edd. vett. Vulgo τεκμηρίῳ.

***) Sic Suidas in βουφόνια. Legebatur Διονυσίων.

†) Sic e Suida in βουφόνια et Θαύλων. Legebatur Βαύλωνα. Idem in βουφόνια, ubi Androtionis meminit, verba διὰ τῆς τετάρτης omittit.

††) Aldina τροπωσαμένους.

†††) Sic emendavimus. Vulgo, τῷ δὲ ἐντετυλίχθαι τὸ ἐναντίον γυμνοῦσθαι, οὐκ ἐγκεκαλύφθαι. Aldina τὸ δὲ ἐντετυλίχθαι.

Ὀρχεῖσθαι] Ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπές, φησί, προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. ϑ Ὡσανεὶ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων διὰ τὸ ἐπικαλύπτεσθαι δι' αἰσχύνην τῆς θεοῦ *)· ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα.

989. *Τῆς κωλῆς*] Τοῦ ποδός· ἕτεροι δέ φασι τοῦ αἰδοίου. Glossa.

Τριτογενείης] Εἶδος ὀρχήσεως, ἣ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι, Τριτογένεια κέκληται· τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν οἱ πρότερον μὲν ὡπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες· οἱ ὕστερον δὲ ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δέ φασι τὴν σύνταξιν· πρῶτον γὰρ πληθυντικῶς εἰπών, εἰς ἑνικὸν ἀποδέδωκεν. Ἐν δὲ τοῖς παλαιοῖς τῶν ἀντιγράφων *ἀμέλει τῆς Τριτογενείης* εὕρηται.

991. *Μισεῖν ἀγοράν*] Ἐνταῦθα γὰρ οἱ πανοῦργοι διατρίβουσιν. *Βαλανείων ἀπέχεσθαι.* Πάνυ γὰρ οἱ πόρνοι λουτροῖς ἐχρῶντο. Glossae quarti Reg.

993, *Ὑπανίστασθαι*] Ὑπαναχωρεῖν. Glossa. *Προϊοῦσι*, προερχομένοις Glossa cod. Brunck.

994. *Μὴ παρὰ τοὺς σεαυτοῦ*] Ἀντὶ τοῦ, μὴ παρὰ γνώμην τῶν σῶν γονέων.

995. *Ὅτι τῆς αἰδοῦς*] Εἴπερ μέλλεις τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. γράφεται δὲ καὶ *ἀφανίζειν*· ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ **). ✠ *Τῆς αἰδοῦς ἄγαλμα*, ἡ αἰδὼ περιφραστικῶς. *Ἄγαλμ' ἀναπλάσσειν*, τύπον ἐργάσεσθαι. Glossae quarti Reg. *Ἀναπλάσσειν.* ποιήσειν τύπωσιν. Gloss. cod. Leid.

Ἀναπλήσειν] Τύπωσιν ἐργάσασθαι. Glossa Reg. C. Ἤγουν τύπωσιν ἐργάζεσθαι *). Gloss. Vict.

Ὅτι μέλλει τῆς αἰδοῦς τἄγαλμ' ἀναπλήσειν.] *Ἐμὲ τὸν κρείττω λόγον αἱροῦ*, φησί, καὶ ἐπιστήσῃ τὸ

---

*) Legebatur ἐπικαλύπτεσθαι τὴν αἰσχύνην, et verba τῆς θεοῦ infra posita erant post τὴν ἀσπίδα.

**) Verba ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ legebantur ad v. 994. post γονέων.

***) In utroque libro τυπώσειν legebatur.

καὶ τό. τὸ δ' αἴτιον τῆς ἐπιστήμης ταύτης, ὅτι μέλλεις ἐπιμελήσεσθαι καὶ τιμήσειν τὴν αἰδῶ, εἰ ἐμὲ αἱρῇ, καὶ τὸ ἄγαλμα αὐτῆς ἀναλαβὼν ὡς ἀμελούμενον τελειώσειν, ἐν σεαυτῷ δηλονότι, ὥςπερ εἰ καὶ ἄλλου οὑτινοςοῦν θεοῦ ἄγαλμα ἐν τῇ σῇ καρδίᾳ ἔστησας ὥςτε σέβειν αὐτό. τούτῳ ὅμοιον καὶ Δημοσθένης (p. 780, 22.) φησὶν ἐν τούτοις· δίκης καὶ εὐνομίας καὶ αἰδοῦς εἰσὶ πᾶσιν ἀνθρώποις βωμοί, οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκάστου καὶ τῇ φύσει, οἳ δὲ καὶ κοινοὶ τοῖς πᾶσι τιμᾶν ἱδρυμένοι. Manuel Moschopulus*).

996. Εἰςάγειν] Ἑαυτόν. Glossa quarti Reg.

997. Μήλῳ βληθείς] Ἀντὶ τοῦ ἔρωτι. μηλοβολεῖν γὰρ ἔλεγον, τὸ εἰς ἀφροδίσια δελεάζειν· ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης**) ἐστὶν ἱερόν. ✠ Ἀποθρανσθῇς, ἀποσχέσῃς. Glossa Brunck. et Vict.

998. Ἰαπετόν] Ἀρχαῖον, μωρόν. Glossa. Μωρὸν καὶ ὑπεργήρων. ὁ γὰρ Ἰαπετὸς θεὸς ἦν πρὸ τοῦ Κρόνου. Gloss. Vict.

999. Ἐνεοττοτροφήθης] Ὥςπερ νεοσσὸς ἐτράφης. Glossa. Ἐτράφης δίκην νεοττῶν. Gloss. Vict.

1001. Τοῖς Ἱπποκράτους] Οὗτοί εἰσι Τελέσιππος, Δημοφῶν, Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολις φησιν ἐν Δήμοις·

Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες,
βληχητὰ τέκνα κοὐδαμῶς τοῦ 'μοῦ τρόπου***).

Βλιτομάμαν] Μωρόν. τὸ γὰρ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον. εἰκότως δὲ εἶπε καλοῦσι, καὶ οὐ καλέσουσι,

---

*) Edidit hoc scholion Creuzerus ad Plotinum de pulcritudine p. 370.

**) Ἀφροδίτης non esse in Ἀφροδίτῃ mutandum observavit Reizius: ἱερὸς enim ab recenſioribus genitivo iungi, ut ab Herodiauo VI. 6 et Athenaeo X. p. 512.

***) Sic hos versus Toupio duce correxit Brunckius in notis p. 108. nisi quod etiam Ἱπποκράτεος male scripsit, quum non putaret secundam produci posse. Legebatur, καὶ οὐδαμῶς τοῦ τρόπου: et sic etiam apud Suidam in τοῖς Ἱπποκράτους. Kusterus et Bentleius τοῦ νῦν τρόπου, probante Dobraeo ad Vesp. 1472. p. (136) In principio versus videtur syllaba deesse. Apud Suidam v. ὑώδεις

πρὸς τὸ *εἴξεις*. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι, *εἴξεις* εἶπε· διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, *καλοῦσιν* εἴρηκε. ✠ *Βλιτομάμμαν*. μαλακογνώμονα. Gloss. Vict.

1003. *Τριβολεκτράπελα*] Ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρά, καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα, καὶ ἀνώμαλα. ✠ Οὐδαμινά, φευκτά. Glossae.

1004. *Γλισχραντιλογεξεπιτρίπτου*] Ἐκ τοῦ γλίσχρου, καὶ ἀντιλογίας πεποιημένου, τοῦ καὶ δυναμένου ἐπιτρῖψαι. ✠ Γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος κατατετριμμένην. Glossa.

1005. *Ἀλλ' εἰς Ἀκαδημίαν*] Ἐνταῦθα γὰρ διέτριβον οἱ φιλόσοφοι. ἦν γὰρ καὶ γυμνάσιον, ἀπὸ Ἑκαδήμου *) τινός, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ' ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἳ καλοῦνται μορίαι· ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν, ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι.

Ὑπὸ ταῖς μορίαις] Αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ ἀκροπόλει μορίαι ἐκαλοῦντο. λέγουσι γάρ, ὅτι Ἁλιῤῥόθιος, ὁ παῖς Ποσειδῶνος, ἠθέλησεν ἐκκόψαι αὐτάς, διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης κριθῆναι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὃ δὲ ἀνατείνας τὸν πέλεκυν, καὶ ταύτης ἀποτυχών, ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι αἱ ἐλαῖαι**) ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. 𝔖 Ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ τὸ δένδρον***). ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις ἀλειψαμένοις †) ἐν τῷ ἡλίῳ τρέχειν. † Ἄλλως. Ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιῤῥόθιον ταύτην τεμοῦντα. ὃ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε·

---

legitur: ὑεῖς Ἱπποκράτους ἐμβόλιμοί τινες βληχητὰ τέκνα. Vnde permira extudit Reisigius in Coniect. p. 111. seq.

*) Sic Aldina et Suidas in Ἀκαδημία. Vulgo Ἀκαδήμου.

**) Αἱ ἐλαῖαι vulgo omissum. Aldina μορίαι ἐλαῖαι.

***) Suidas in μορίαι habet τὰ δένδρα. Aldina sine articulo δένδρον.

†) Sic Aldina. Vulgo, ut apud Suidam, ἀλειψαμένους.

τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε. καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη· ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις, ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον. †

1006. *Καλάμῳ λευκῷ*] Λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοςκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ.

107. *Μίλακος*] Εἶδος βοτάνης. παρέμιξε τὸ *ἀπραγμοσύνης*. ἀπραγμοσύνη δὲ φυτόν, ὡς *Ἀριστοφάνης* ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. Ϡ Ἄλλως. *Ἀπραγμοσύνη* εἶδος ἄνθους· οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ *ἀπραγμοσύνης*, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ *ψιθυρίζει*, ἀντὶ τοῦ ἀνέμου πνέοντος μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰςιόντος. Ϡ Ὥςπερ προςλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ *Θεόκριτος*·

ἁδύ τι τὸ ψιθύρισμα.

✣ *Φυλλοβολούσης*. τὰ φύλλα ῥιπτούσης Gloss. Vict.

1009. *Ἢν ταῦτα ποιῇς*] Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε· ὧν τὰ μὲν ιγ΄, δίμετρα ἀκατάληκτα· τὸ τεσσαρακαιδέκατον, μονόμετρον, ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον, ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν, ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἣ μὲν ἐν ἀρχῇ, ἣ δὲ κατὰ τὸ τέλος τοῦ κώλου, ἔξω νενευκυῖαι.

1013. *Γλῶτταν βαιάν*] Σωφροσύνης ξύμβολον. οἷον μὴ φλυαρολογεῖν. τὸ δὲ *πυγὴν μεγάλην*, ἢ γέλωτος χάριν, ἢ διὰ τὴν τρυφὴν*) ἕξεις πυγὴν μεγάλην. Πόσθη δέ, τὸ μόριον τοῦ ἀνδρός. αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους. ✣ Ψωλήν. Glossa.

1017. *Χροιὰν ὠχράν*] Διὰ τὴν ἀταξίαν. ✣ Κίτρινον. Glossa.

Ὤμους μικρούς] Γράφεται καὶ *λεπτούς*, καὶ *λευκούς*· οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.

1019. *Κωλῆν*] Μηρόν. Glossa.

1020. *Ψήφισμα μακρόν*] Τὸ ἐκ πολυλογίας συγκείμενον. ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις**). ✣ Δικοῤῥαφίαν. Glossa.

---

*) Sic Ruhnkenius. Legebatur τροφήν.

**) Habent haec verba, μεγάλῳ ψηφίσματι γράψεις, speciem fragmenti anapaestici.

1023. *Τῆς Ἀντιμάχου*] Οὗτος ὡς κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται· δεύτερος, ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος· τρίτος, ὁ Ψακάδος*) λεγόμενος· τέταρτος, ὁ τραπεζίτης, οὗ μέμνηται *Εὔπολις* ἐν Δήμοις· πέμπτος, ἱστοριογράφος. τάχα δὲ αὐτός ἐστι τῷ εὐμόρφῳ. ✠ Οὗτος λίαν πόρνος ἦν.

1025. *Ὦ καλλίπυργον*] Ἑτέρα εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ ἀντίστροφος, ὁμοία τῇ προῤῥηθείσῃ στροφῇ, ἐκ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων, ὡς τὰ τῆς στροφῆς καθ' ἕκαστον ἐχόντων, δέκα· πλὴν τοῦ πέμπτου ἐξ ἐπιτρίτου καὶ διϊάμβου συγκειμένου· καὶ τοῦ ἑβδόμου, ἐκ χοριάμβου, ἰάμβου, καὶ ἀντισπάστου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.

1034. ✠ *Ἀνήρ*. οὗτος, ἤγουν ὁ δίκαιος. Gloss. Vict.

1035. *Δεῖν*. χρείαν εἶναι. Gloss. Vict.

1037. *Καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην*] Εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ', ὧν τελευταῖος,

ἕξει τινα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι,

τὸ δὲ μέτρον Ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

1038. ✠ *Συνταράξαι*. ἀνατρέψαι. Gloss. Vict.

1039. *Ἐγὼ γὰρ ἥττων*]. Ὅτι ποιῶ αὐτοὺς ἡττηθῆναι. ἢ ὅτι τὰ ἥττονα λέγω. ϑ Ἐπὶ τὸ πάντας ἡττᾶσθαι **).

1042. *Καὶ τοῦτο*] Τὸ τινὰ λαχόντα***) δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. τὸ δὲ *σκέψαι* πρὸς τὸν Φειδιππίδην. ✠ Οὐδέποτε οἱ Ἀττικοὶ τὸ πλεῖν ἀντὶ τοῦ πλέον μόνον ἐκφέρουσιν, εἰ μὴ παραθήσουσι καὶ τὸ ἢ ἀντὶ τοῦ παρό. Schol. Harl. 5.

1043. *Αἱρούμενον*. προκρίνοντα. Gloss. Vict.

1047. *Κάκιστόν ἐστι*] Ἑψοῖ γὰρ καὶ χαυνοῖ τὰ σώματα. *Δειλότατον* δὲ εἶπεν. ἐκλύει γάρ. ✠ Μαλακίας γὰρ αἴτιον. Glossa quarti Reg.

---

*) Aldina et Iunt. Ψαδακός. Vulgo Ψεκάς. Vide Acharn. 1149. ibique schol. Suidas Ψεκὰς habet in hoc nomine.

**) Haec verba sine interpunctione cum praecedentibus continuata erant.

***) Legebatur λαβόντα.

1048. *Μέσον ἔχω λαβών σ' ἄφυκτον*] Ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν παλαιστῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. τὸ δὲ *εὐθὺς* ἀντὶ τοῦ ἐν ἀρχῇ. ✠ *Ἐπίσχες*. σαυτὸν δηλονότι, ἤτοι καρτέρησον. *μέσον*. κατά. *ἄφυκτον*. οὐ φυγεῖν δυνάμενον. Gloss. Vict.

1052. *Ἡράκλεια λουτρά*] Ἴβυκός φησι, τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων· ἐξ ὧν τὰ θερμά τινές φασιν Ἡράκλεια λέγεσθαι*). οἱ δέ φασιν, ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐξανῆκεν**)· ὡς *Πείσανδρος*·

τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη
ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης.

✠ Ἡρακλεῖ πολλὰ καμόντι περὶ Θερμοπύλας Ἀθηνᾶ θερμὰ λουτρὰ ἀναδέδωκεν. *Πείσανδρος*. Sequuntur eius versus. Schol. MS. Rav.

1054. *Ἃ τῶν νεανίσκων*] Ὡς ταῦτα ἀγυμνάστων νεανίσκων λαλούντων· τῶν εὐγενῶν δηλονότι.

1064. *Ὁ γοῦν Πηλεύς*] Ὅτε ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τῷ Πελίου***) ἀγῶνι φασὶ τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην Ἡφαιστότευκτον μάχαιραν. ϟ Ἄλλως. Ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ, καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθών, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν, εἰπών· εἰ δίκαιος εἶ, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο Ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. ϟ Ἄλλως.

---

*) Legebatur γίνεσθαι. Suidas in Ἡράκλεια λουτρὰ haec tantum habet: ἐξ ὧν τὰ θερμά.

**) Sic Ernestius p. 32. Legebatur ἐπαφῆκεν. Vide schol. Sophocl. ad Trachin. 633.

***) Sic recte Aldus. Vulgo Πηλίου. Vide Apollodor. p. 256. De omnibus his fabulis videndi Apollodorus p. 255. seq. et Heynius ad eum p. 785. schol. Apollonii ad I. 224. Verheyk. ad Anton. Liber. p. 257. Suidas in Ἀταλάντη.

Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατέρα *) σὺν Τελαμῶνι δολοφονήσας, φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ' οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθών, Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν ἐς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ' αὐτοῦ. Ἀστυδάμεια δέ, ἡ Ἀκάστου γυνή, ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὃ δὲ κτεῖναι μὲν ὃν καθῆρεν οὐκ ἠβουλήθη. ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπών, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὃ δὲ ἐξαναστάς, καὶ μὴ εὑρὼν τὴν μάχαιραν, ἤμελλεν ἀπόλλυσθαι καταλειφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ.

1066. Ὑπέρβολος] Οὗτος λυχνοποιὸς ὤν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευήν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει, ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἄξιοι ὦσι· καὶ οὕτως ἠπάτα τοὺς πριαμένους.

1069. Κἆτ' ἀπολιποῦσά γ' αὐτόν] Φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα, ἐνέθηκεν **) εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν· ἣ δὲ λυπηθεῖσα ἐχωρίσθη. ϑ Ἄλλως. Ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ***) ἐνέβαλλε τοὺς ἐκ Πηλέως γενομένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν· ἑτέρους †) δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός (IV. 869. seqq.) φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησίν, ὑπὸ

---

*) Sic Valckenarius ad Callimachi fragm. p. 114. Legebatur πατρίδα.

**) Sic Ernestius p. 32. Legebatur ἐπέθηκεν. De re vide Apollodor. p. 259.

***) Hoc addendum fuit e scholiis Apollonii ad IV. 816. unde totum hoc scholion, paucis mutationibus factis, depromptum est.

†) Sic etiam apud scholiasten Apollonii. Sed vereor ne scripserit ἕτεροι.

Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τρίτῳ) περὶ Θεσσαλίας φησί, Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον γενέσθαι, μεταπέμψασθαι**) τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος***), καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν Πηλεύς, Διὸς διδόντος αὐτῷ, οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν. ταῦτα φημίσας παρετήρει τὸν χρόνον, ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἐξαίσια, καὶ δίδωσι Πηλεῖ Φιλομήλαν. καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη.*

1071. *Σιναμωρουμένη] Ἀνδρὶ συνουσιάζουσα πρὸς μῖξιν. σινάμωρος δέ, ἡ μεμορημένη****). σίνος δέ, τὸ αἰδοῖον· ὅθεν καὶ Σιληνός.* ϑ *Σινάμωρον οὖν, τὸ πορνικόν* †). *Κρόνιππος δέ, ὁ μέγας λῆρος· κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου* ††). *Συνουσιαζομένη.* Glossa.

1074. *Κοττάβων] Ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον. ἐτίθεσαν λέβητα, καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλον, καὶ κτύπον μέγαν ἀπετέλουν ἐν τούτοις* †††)·

1078. *Ἀδύνατος γάρ] Οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι τοὺς ἐναντίους* ††††).

1081. ✠ *Ἐπανενεγκεῖν. τὴν αἰτίαν.* Gloss. Vict.

1084. *Ἢν ῥαφανιδωθῇ] Οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο· ῥαφανῖδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων, καὶ παρατίλλοντες αὐτούς, τέφραν θερμὴν ἐπέπασσον, βασάνους ἱκανὰς ἐργαζόμενοι.*

1085. *Τίνα γνώμην] Ἀντὶ τοῦ, ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι.*

---

*) Sic Elmsleius ex schol. Apoll. Legebatur *τῷ*.

**) Sic recte schol. Apollon. Legebatur *μεταπέμψαι.*

***) Vid. Heyn. ad Apollodor. p. 786.

****) Etym. M. *σινάμωροι* interpretatur *μεμορημένοι πρὸς τὸ σίνεσθαι.*

†) Vide Suidam in *σινάμωρον.*

††) *Κρόνιππος* et quae sequuntur, etiam e cod. MS. habet Brunckius.

†††) Sic Aldina. Vulgo *καὶ ἐν τούτοις.* De cottabo vid. Athen. XV. p. 665. seqq. et Pollucem VI. 19.

††††) Legebatur *αὐτοὺς ἐναντίον.* Ernestius p. 32. *τοὺς ἐναντίον.*

1086. *Ἦν δ' εὐρύπρωκτος*] Ἔκθεσις τῆς διπλῆς ἀμοιβαία· ἧς προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλά εἰσιν ἰαμβικὰ ὀκτωκαίδεκα δίμετρα ἀκατάληκτα. τὸ μέντοι ὄγδοον καὶ δυοκαιδέκατον, τρίμετρα, καὶ τὸ ἑνδέκατον, πενθημιμερές. τὸ τεσσαρακαιδέκατον*) καὶ ἑπτακαιδέκατον, μονόμετρα. τὸ δὲ τελευταῖον, ἐφθημιμερές. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.

1088. *Ἢν τοῦτο*] Λείπει ἡ εἰς· ἵνα ᾖ, εἰς τοῦτο. ϑ·Δύο προθέσεων ἐλλείψεις. ἀντὶ τοῦ, εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κακόν, εὐρύπρωκτον εἶναι. ✣ *Ἐμοῦ.* ὑπό· Gloss. Vict.

1092. *Τραγῳδοῦσιν*] Εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων**).

1105. *Ὦ κινούμενοι*] Τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησίν, ὁμολογῶν ἡττᾶσθαι, ἢ ὁ νεανίσκος, ὁ τῶν λόγων κριτής· ὃ καὶ μᾶλλον φαίνεται ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος αὐτῷ συνάχθεσθαι, παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ. ✣ Συνουσιαζόμενοι. Glossa quarti Reg. Ὦ εὐρύπρωκτοι. Gloss. Vict.

1107. *Θοἰμάτιον*] Ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρήσῃ***) πρὸς αὐτόν, καὶ μὴ ἐμποδίζοιτο ἐν †) τῷ δρόμῳ.

1109. *Τί δῆτα; πότερον*] Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ. ἐν ἐκθέσει δὲ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβρα-

---

*) Pro his, ὄγδοον, δυοκαιδέκατον, ἑνδέκατον, τεσσαρακαιδέκατον in ed. Aldina legitur ἕβδομον, ἑνδέκατον, πεντεκαιδέκατον, vulgo autem numerorum signa, ζ', ια', ι', ιε'.

**) Bene observat Berglerus, haec etiam ad Agathonem, poetam tragicum referri posse, de quo vid. Thesmoph. v. 200. seq. Reprehendit tamen hanc interpretationem Ritschlius in thesi VI. addita particulae commentationis, quam de Agathone scripsit, defensurus id, ut speramus, in libro, quem de poeta illo scribere instituit. Annos habuit Agatho, si verae sunt Ritschlii rationes, quum Nubes primum edebantur, XXIV.

***) Legebatur χωρίσῃ.

†) Aberat ἐν.

χυν, ἤτοι χορεῖον. ἐπὶ τῷ τέλει παράγραφος. ❖ Ἐπάγεσθαι, ἀπελθεῖν. Glossa.

1112. Στομώσεις] Ὀξυνεῖς ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν.

Ἐπὶ θάτερα] Τὸ μὲν ἕτερον μέρος τῆς γνάθου.

1113. Οἵαν δικιδίοις] Τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

1115. ❖ Κομιεῖ. λήψῃ. Gloss. Vict.

1118. Τοὺς κριτὰς ἃ κερδανοῦσιν] Κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίῤῥημα *)· ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίῤῥημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛ´, ὧν τελευταῖος,

κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς.

αἰτιατικὴ δὲ ἀντὶ εὐθείας· ἀντὶ τοῦ, οἱ κριταί. Ὅμηρος (Odyss. I. 275)··

μητέρα δ', εἴ οἱ θυμὸς ἐποτρύνει γαμέεσθαι**).

ἀντὶ τοῦ ἡ μήτηρ.

Τόνδε τὸν χορόν] Τῶν Νεφελῶν. Τοὺς κριτάς, ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος·

μητέρα δ' ἤτοι θυμὸς ἐποτρύνει.

ἀντὶ τοῦ ἡ μήτηρ. Schol. MS. Rav.

1119. Ὠφελᾶσ' ἐκ τῶν δικαίων] Συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προςέθηκε τοῦτο.

1120. Νεᾶν] Ἀροτριᾶν. Ἐν ὥρᾳ, εὐκαίρως. Glossae Νεᾶν, ἀντὶ τοῦ ἀροτριᾶν καὶ σπείρειν. Gloss. Rav.

1122. Τεκούσας] Χαριέντως εἶπε τεκούσας, καὶ φυλάξαι, ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ ἐστιν εὐ-

---

*) Legebatur τὸ ἐπίῤῥημα τῆς παραβάσεως.

**) Legebatur εἴ τοι. Apud Homerum εἰ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι.

χερὲς ῥεῖν*). τὸ δὲ**) αὐχμὸν πιέζειν ἀντὶ τοῦ ξηρασίαν καταπονεῖν, ἀφανίζειν.

1128. Ἀποκεκόψονται] Ἀφ' ἡμῶν. Glossa quarti Reg.

Σφενδόναις] Ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν. ϛ Ἡ μεταφορὰ ἐκ τῶν λίθων καὶ τῶν σφενδονῶν. ϛ Θέλει δὲ τὴν χιόνα εἰπεῖν. οὐκ ἀκύρως δὲ τὸ παιήσομεν, ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται.

1132. Τὴν νύκτα] Ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.

1133. Ἐν Αἰγύπτῳ] Ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι, ὡς Ἡρόδοτος (III. 10.). ἐκεῖ οὖν θελήσει τυχεῖν, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ϛ Ἐπεὶ καταρᾶται***). ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος·

δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις (v. 47.)·

οὐδεὶς κακοεργὸς

δαλεῖται τὸν ἰόντα, παρέρπων Αἰγυπτιστί.

καὶ αἰγυπτιάζειν, τὸ ὕπουλα πράττειν.

1134. Πέμπτῃ] Κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν, καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ

---

*) Hoc scholion sic legebatur: χαριέντως εἶπε τεκούσας, καὶ φυλάξαι, ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ ἐστιν εὐχερές. Sic etiam Aldina: sed haec infra in ea pagina, quae v. 1385—1415. continet, fragmentum habet scholii in vulgatis edd. omissum. Id sic scriptum est: τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου· λίαν γάρ ἐστιν εὐχερὲς ῥεῖν ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο. Inde ῥεῖν addidimus, quod de fructibus dicitur. Postrema verba e scholio ad v. 1119. petita sunt. — Sic ego olim, F. A. Wolfii exemplari Aldinae utens, adnotavi. Dindorfius fragmentum illud neque in suo Aldinae exemplo, neque in quinque aliis, quae inspexerit, inveniri ait. Eo in numero si non est exemplar, quod ego possideo, quod fuit olim I. M. Gesneri et postea L. Kulenkampii, septimum accedit. Quare suspicor in illo Wolfii exemplo casu servatum esse folium, cui damnato typographus aliud substituit. Eo modo etiam Theocriti exemplaria Aldina differunt, de quibus v. Reiskii praef. p. VI. seqq. et Euripides I. Lascaris, de quo dictum in Wolfii Analect. litt. vol. I. p. 472. seqq.

**) Δὲ aberat in vulgatis. Id repositum pro eo, quod Aldina habet, γάρ.

***) Vereor ne haec verba nata sint e praecedentibus ἐπὶ κατάραν.

τρίμετρα κγ΄. ἐξέρχεται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι· τὰς μὲν ἀπὸ νουμηνίας, ὁμοίως ἡμῖν λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα· μεθ᾽ ἣν πρώτην ἐπὶ δέκα, εἶτα δευτέραν ἐπὶ δέκα· καὶ ἑξῆς ἄχρι εἰκοστῆς· ἡ αὐτὴ δὲ καὶ εἰκάς· μεθ᾽ ἣν ἑνδεκάτην φθίνοντος, ἢ δεκάτην, ἢ ἐνάτην, ἢ ὀγδόην, ὡς ἔτυχεν ἔχων ὁ μήν· καὶ ἑξῆς ἀναλύοντι*) ἄχρι δευτέρας. ϑ Οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν, οὐ προςτιθέντες, ἀλλ᾽ ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου· ὥςτε ἡ μὲν εἰκοστὴ ἕκτη παρ᾽ αὐτοῖς πέμπτη ἀκούει· ἡ δὲ εἰκοστὴ ἑβδόμη τετρὰς λέγεται**), πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν λεκτέον***) ἕνην, τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. ϑ Ἄλλως. Πέμπτη, τετράς οὐ προςέθηκε τὸ φθίνοντος. οὕτω γάρ, φασίν, Ἀθηναῖοι μετροῦσιν· ἀπὸ πρώτης ἕως δευτέρας προςτιθέασι τὸ ἱσταμένου· ἀπὸ τριςκαιδεκάτης ἕως ἐννεακαιδεκάτης τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος. τὴν δὲ τριακοστήν, ἕνην τε καὶ νέαν· ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός. ταυτὴν δὲ καὶ†) Δημητριάδα προςηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν ἐκάλουν ἐνάτην φθίνοντος· τὴν εἰκοστὴν τρίτην, ὀγδόην. τὴν εἰκοστὴν τετάρτην, ζ΄· τὴν εἰκοστὴν πέμπτην, ς΄· τὴν εἰκοστὴν ἕκτην, ε΄· τὴν εἰκοστὴν ἑβδόμην, δ΄· τὴν εἰκοστὴν ὀγδόην, γ΄· τὴν εἰκοστὴν ἐνάτην, β΄· εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ††) τόκοι ἀπῃτοῦντο, ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μήν, καὶ ἀρχὴν ἔχει τὰ τοῦ ἑτέρου μηνὸς τῆς σελήνης†††).

---

*) Sic edd. vett. Kusteri ed. ἀναλύοντες. De re conf. Ideleri manuale chronolog. vol. I. p. 281. seqq.

**) Verba ὥςτε usque ad λέγεται collata erant in fine scholiorum ad hunc versum.

***) Aldina ἀκτέον. Fortasse ἐπακτέον.

†) Vulgo ταυτὸν καί. Aldina ταυτὸν δὲ καί. Kustero Harpocrationem v. ἕνη καὶ νέα citanti Ruhnkenius addidit L. Bos. Obss. crit. p. 75.

††) Articulum addit Aldina.

†††) Sic Ald. et vett. sed Porti et Kusteri edd. καὶ σελήνης. Τὰ ante τοῦ addidi e schol. ad v. 1180. Quae vulgo sequebantur, supra post Σόλωνος ἡγησαμένου collocavimus.

1137. *Ἕνη καὶ νέα*] Ἡ νουμηνία· οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακάς· ἐπειδὴ συμβαίνει ἐν αὐτῇ καταλήγειν τὴν σελήνην, καὶ γενέσθαι. τότε δὲ τοὺς μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπῄτουν, ὡς ὑπερημέρους*). διὸ λυπεῖσθαί φησιν, ὡς ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. ϑ Ἡ δέ ἐστιν ἡ καλουμένη τριακάς**). ϑ Ἕνη καὶ νέα, ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τὸν μῆνα, ἕνη· διὰ δὲ τὴν ἀρχήν, νέα. ϑ Ἄλλως. Ἡ καλουμένη νουμηνία, διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος, ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι· καὶ τὴν μὲν πρώτην, ὡς ἡμεῖς, ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ θ'. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ ἐπ' εἰκάδι πρώτην***), ὑστέραν δεκάδα· καὶ τὴν μετὰ ταύτην, θ' φθίνοντος, ἕως β' φθίνοντος, ἥτις ἐστὶν κθ'. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί.

1139. *Θείς μοι πρυτανεῖα*] Τὰς γὰρ δίκας†) τοῦ χρέους καταβάλλοντες τοῖς πρυτανεῦσιν εἰςῆγον τοὺς χρεωστοῦντας. πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα. μέμνηται τῆς λέξεως καὶ *Ἰσοκράτης* ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων, καὶ ὁ διώκων. ϑ Ἄλλως. Δίκας, ἐκταγάς. αὗται γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο. τὸ δὲ ἦν δημόσιόν τι θησαυροφυλάκιον.

1145. *Δικαζέσθων*. ἀντὶ τοῦ δικαζέσθωσαν κατὰ ἀποκοπήν. Gloss. Vict.

Ὀλίγον γάρ μοι μέλει] Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν, διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων.

1148. *Ἠμί*. φημί, ἐνίημι. Gloss. Vict.

---

*) Sic Ernestius p. 32. Legebatur ὑπερόρους.

**) Sic Kusterus pro εἰκάς. Legebatur enim εἰκὰς φθίνοντος: quorum verborum ultimum delevi. Caeterum errant scholia, quae ἕνην καὶ νέαν vocant νουμηνίαν. Vide Spanhemium.

***) Legebatur τὴν δὲ εἰκάδα πρώτην.

†) Legebatur δεκάδας.

1149. *Πρῶτον λαβέ*] Θύλακον ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ ἄνω εἶπε (v. 665.),

διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

* Τὸν θύλακον, ὅς ἐστι μεστὸς ἀλφίτων. Glossa Reg. C. Τὸν πλακοῦντα. Glossa cod. Brunck.

1150. † *Ἐπιθαυμάζειν*] Θαυμαστῶς*) τιμᾶν καὶ δεξιοῦσθαι. † Θαυμαστῶς τιμᾶν καὶ ἀξιοῦσθαι. Gloss. Vict.

1152. *Ἀρτίως*] Διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ Ἀττικοῖς. ἄρτι μὲν γάρ, ἀντὶ τοῦ νῦν, ἀρτίως δέ, πρὸ ὀλίγου.

1153. *Ἀπαιόλη*] Πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν, καὶ κινεῖν, καὶ στερεῖν· ἤ τινα τοιαύτην, ὡς ἂν εἴποι τις, ὦ Ἀδικία. *Ἀριστοφάνης* δὲ ὀξύνεσθαί φησι τὴν ἐσχάτην, Ἀπαιολή. τὸ δὲ *ὥςτε* πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ *παμβασίλεια* διὰ μέσου.

1157. *Βοάσομ' ἄρα*] Διπλῆ εἴςθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον, ἐξ ἰαμβικῆς βάσεως, (τῶν *ἄρα* δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων) καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς. τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. μεθ' ἅ, δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον, ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χορείου; δίμετρον. τὸ ἔνατον, ἐξ ἐπιτρίτων τρίτων, δίμετρον ὑπερκατάληκτον· τὸ δέκατον ἐκ διτροχαίου καὶ ἀντισπάστου**), εἶτε ἐπιτρίτου τετάρτου, καὶ διϊάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τριςκαιδέκατον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ', σπονδειακὴ ταυτοποδία. τὸ ιε', ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις', ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ', δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη', ὅμοιον τῷ ιε'***), τὰ ἑξῆς δῆλα. ζητητέον δὲ περὶ πάντων ἀκριβέστερον. Ϡ Ἄλλως. Παρὰ τὰ ἐκ Πηλέως *Εὐριπίδου*. ἐπιφέρει γάρ,

---

*) Legebatur θαυμαστῇ. Mutationem Kusteri confirmat glossa apud Brunckium, eadem verba continens.

**) Legebatur, ἐκ διτροχαίου ἀντισπαστικοῦ.

***) Legebatur ις', quod falsum est. Scholiastes videtur legisse, ut nos emendavimus, ἄπιθι σοὶ λαβών. Atque ita haec verba eodem metro sunt, quo illa, ἄϊε σοῦ πατρός, in quibus scholiastes primam in ἄϊε corripuit.

ἰώ, πύλαισιν, ἤ τις ἐν δόμοις*).

καὶ Φρύνιχος Σατύροις·

βοάσομαί τἄρα **) τὰν ὑπέρτονον
βοάν.

𝔊 Χορικῇ· περιπλοκῇ εἴρηται, καὶ διαλέκτῳ Δωρίδι. ὑπέρτονον δέ, μεγάλην, ὑπέροχον. φησὶ δέ, εἰ οὗτος ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι.

1158. Ὦ 'βολοστάται. δανεισταί. Gloss. Vict.

1159. Τάρχαῖα] Τὰ κεφάλαια. Glossa Reg. C. et cod. Brunck. Τἀρχεῖα. οἱ γὰρ πρῶτοι τόκοι παρατεθέντος τοῦ δανείου κεφάλαια γιγνόμενοι τόκους ἄλλους γεννῶσι. Gloss. Vict.

1163. Ἀμφήκει γλώττῃ] Ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. Ἀκόλουθον δὲ τῷ ***) (v. 1112.)

εὖ μοι στομώσεις αὐτόν, ἐπὶ μὲν θάτερα
οἷαν δικιδίοις.

✠ Ἀμφήκει. ἀμφοτέρωθεν ἠκονημένῃ. Gloss. Vict.

1164. Ἀνιαρός] Βλαβερός. Glossa cod. Brunck.

1165. Λυσανίας] Λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προενεγκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνοματοποιΐαν τὸν Σοφοκλέα μυκτηρίζει λέγοντα·

Ζεὺς νόστον ἄγοι τὸν νικομάχαν
καὶ πανσανίαν τὸν Ἀτρειδᾶν †).

1167. Ὁ Εὐριπίδης ἐν τῷ τῆς Ἑκάβης δράματι δι'

---

*) Legebatur ἰὼ πύλαισιν, ἥτις ἐν δόμοις. Hactenus etiam scholion libri Ravennatis, inde a verbis παρὰ τὰ ἐκ Πηλέως. Sed in eo ἐν omissum; reliqua, ut vulgo, scripta. Blomfieldio ad Choeph. 642. scribendum videbatur, ἰὼ ἰώ, πύλαισιν· ἤ τις ἐν δόμοις; Si vera retulit scholiastes, sic potius scripsisse putandus est Euripides:

βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν. ἰώ, πύλαισιν ἤ τις ἐν δόμοις;

i. e. *ecquis intus est?*

**) Legebatur γάρ ἄρα.

***) Legebatur τό.

†) Legebatur, Ζεῦ ἄνοτος ἄγοιτο νικομάχαν, καὶ πανσανίαν, καὶ Ἀτρείδαν. Apud Suidam in λυσανίας sic, Ζεὺς νόστον ἄγει τὸν νικομάχαν καὶ πανσανίαν καὶ Ἀτρείδαν. Non bene locum emendavit Brunckius in fragmentis incertis Sophoclis LXXXVI. Etiam Bentleius ἄγοι τὸν correxit, sed ille κατ' Ἀτρείδαν.

αὐτῆς φησίν· ὦ παῖ, παῖ, Πολυξένη δηλονότι, ἔξελθ', ἔξελθ' οἴκων. Schol. cod. Leid.

1171. Τὸ ἰὼ καὶ τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. Schol. cod. Harl. 5.

1172. Χροίαν] Ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χροίαν.

1173. Ἰδεῖν εἶ] Λείπει ἡ εἰς· ἵν' ᾖ, εἰς τὸ ἰδεῖν. ἐξαρνητικὸς δέ, ἀρνεῖσθαι δυνάμενος. ✠ Ἰδεῖν. εἰς τὸ ἰδεῖν. Gloss. Vict.

1175. Ἀτεχνῶς] Ἄγαν ἀκριβῶς. Ἐπανθεῖ δέ, πλεονάζει, ἀκμάζει.

Τί λέγεις σύ] Τῷ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; 𝔍 Ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλόμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα· οἵ τε ἀναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον, τί λέγεις σύ;

1177. Βλέπος] Ἀντὶ τοῦ πανοῦργον τὸ βλέμμα. τὸ δὲ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως. τοὺς μὲν γὰρ Ἀττικοὺς ἐπὶ ἀναιδείᾳ διέβαλλον. 𝔍 Τοὺς δὲ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τῷ δραστικοὺς εἶναι διέβαλλον *). ✠ Ἀττικὸν βλέπος ἤγουν βλέμμα καὶ ἦθος, οἷον οἱ Ἀττικοὶ ἔχουσι, δριμὺ καὶ τιτανῶδες. διαβάλλει δὲ αὐτοὺς ὡς θρασεῖς καὶ ἑτοίμους προδήλως εἰς τὸ ἀδικεῖν. Schol. cod. Leid.

1180. Ἕνη γάρ ἐστι] Ἀντιλέγει τῷ ὁμολογουμένῳ, ὅτι οὐκ ἔστιν ἡμέρα μία ἕνη καὶ νέα, ἀλλὰ δύο, ὅτι οὐ δυνατὸν τὰς δύο ἡμέρας μίαν γενέσθαι· καὶ δεικνυσιν, ὅτι οὐ τῆς μιᾶς ἡμέρας ἐστὶ τὰ ὀνόματα, ἀλλὰ τὸ μὲν τῆς λ', ἕνη, τὸ δὲ τῆς νουμηνίας, ἡ νέα. 𝔍 Ἄλλως. Παίζει ἐνταῦθα ἐρωτῶν·

ἕνη γάρ ἐστι καὶ νέα τις ἡμέρα.

ὥσπερ καὶ εἰς τὸ ἀλεκτρύαινα καὶ ἀλεκτρυών. ἡ αὐτὴ γάρ ἐστιν ἕνη καὶ νέα. ἡ γὰρ τοῦ μηνὸς πρώτη ἀρχή τε ἐστὶ τῶν ἐπιλοίπων καὶ νέα. ἐκ ταύτης γὰρ τὰ τῆς σελήνης χωρεῖ πρὸς αὔξησιν. † Πλούταρχος περὶ τοῦ μὴ δεῖν δανείζεσθαι

---

*) Quae in his duobus scholiis traduntur, habet etiam Suidas in βλέπος et τί λέγεις σύ. E posteriore loco postrema scholii verba emendavimus, quae sic legebantur, καὶ τῷ ἱκανοὺς εἶναι λέγειν.

(p. 827. sive ed. Reisk. vol. IX. p. 291.) *τὴν δὲ τράπεζαν ἡ καλὴ Αὐλὶς ἢ Τένεδος ἀντικοσμήσει τοῖς κεραμέοις καθαρωτέροις οὖσι τῶν ἀργύρων. οὐκ ὄζει τόκου βαρὺ καὶ δυςχερὲς, ὥςπερ ἰοῦ* *) *καθ' ἡμέραν ἐῤῥυπαίνοντος τὴν πολυτέλειαν· οὐδὲ ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νεομηνίας, ἣν ἱερωτάτην ἡμερῶν οὖσαν ἀποφράδα ποιοῦσιν οἱ δανεισταὶ καὶ στύγιον.* †

1182. *Ἀπολοῦντ' ἄρ'*] Ζημιωθήσονται ἅπερ ἀναλώσουσι. σοφίζεται δέ, ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ ἕνη καὶ νέα.

1185. *Γραῦς τε καὶ νέα*] Διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς ἔθηκε, διὰ τὸ τὴν ἕνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥςπερ τέλος τοῦ ὄπισθεν μηνὸς ἡγεῖσθαι, νέαν δὲ τὴν πρώτην**), ἀφ' ἧς ὁ μὴν ἄρχεται.

1188. *Ὁ Σόλων ὁ παλαιός*] Ἀρχὴ αὕτη***) τῆς τοῦ νόμου διηγήσεως. ἐκμιμεῖται δὲ τοὺς ῥήτορας, οἳ τὰ μὲν ὀνόματα τῶν νομοθετῶν ἴσασιν, οὐ μέντοι τοὺς νόμους.

1189. *Τουτὶ μέν*] Οὐκ ἀνασχόμενος ὁ Στρεψιάδης ἀκοῦσαι πάντα τὸν λόγον ἐκ περικοπῆς τοῦτό φησι, τό, οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἕνην τε καὶ νέαν.

1190. *Τὴν κλῆσιν*] Τὴν ἐν ταῖς δίκαις εἰςαγωγήν. καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. ϑ Ὥςτε καλεῖσθαι, καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δημοσίῳ †).

Εἰς δύ' ἡμέρας] Ἐγχειρεῖ λέγειν, ὅτι οὐκ ἔστι μία ἡμέρα ἕνη καὶ νέα, ἀλλ' ὅτι δύο· ἕνη μὲν ἡ λ', νέα δὲ ἡ νουμηνία. τὰς οὖν κλήσεις τῶν δικῶν τῇ λ' φασὶ γενέσθαι, ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην ἔχῃ τὴν τριακοστὴν ὅλην εἰς τὸ σκέψασθαι περὶ αὐτῆς ††), καὶ μὴ ἀποτομίᾳ ζημιωθῇ. οὐ χεῖρον δὲ καὶ τὰ παρὰ *Πλουτάρχῳ* περὶ Σόλωνος παραθέσθαι (cap. 25. vol. I. p. 367.). *συνιδὼν γάρ* †††), φησί, *τοῦ μη-*

---

*) Legebatur ὡςπερεὶ οὐ. Correxit e Plutarcho Reizius.

**) Correxit Reizius. Legebatur τὴν τριακοστὴν πρώτην.

***) Legebatur αὐτή.

†) Sic Reizius. Legebatur δήμῳ. Caeterum haec verba, ὥςτε usque ad δημοσίῳ, infra collocata erant post ζημιωθῇ.

††) Legebatur αὐτοῦ.

†††) Γὰρ scholiastae est. Plutarchus δέ.

νὸς τὴν ἀνωμαλίαν καὶ τὴν κίνησιν τῆς σελήνης οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως, οὔτε ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρεχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην ἕνην καὶ νέαν καλεῖσθαι· τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς τῷ παυομένῳ μηνί, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προςήκειν ἡγούμενος· πρῶτος, ὡς ἔοικεν, ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος (Odyss. XIV. 162. XIX. 307.)·

τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο.

τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσεν· τὰς δ'*) ἀπ' εἰκάδος οὐ προςτιθείς, ἀλλ' ἀφαιρῶν, καὶ ἀναλύων, ὥςπερ τὰ φῶτα τῆς σελήνης ἑώρα, μέχρι τριακάδος ἠρίθμησεν.

1192. Ἵν' αἱ θέσεις] Αἱ δίκαι καὶ αἱ καταβολαὶ**) τῶν πρυτανείων· ἅπερ μισθὸς ἦν τῆς εἰςαγωγῆς τῆς δίκης. Ϡ Ἄλλως. Θέσεις, τὰ δικαστήρια***)· παρὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι.

1193. Ἵν' ᾧ μέλε] Ἵνα, φησί, παρόντες οἱ εἰςαγόμενοι†), εἰ συνίδοιεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς διὰ τῆς τῶν τόκων ἀποδόσεως· εἰ δὲ μὴ οἰκείᾳ ἀποδοῖεν γνώμῃ, ὑπὸ τοῦ δικαστηρίου λυποῖντο. εἰς σκέψιν οὖν αὐτοῖς, φησίν, ἐδίδοτο ἡ τριακοστή. Ϡ Ἄλλως. Ἵνα πρὸ μιᾶς ἡμέρας παραστάντες οἱ κατηγορούμενοι διαλυθῶσιν· εἰ δὲ μή, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς ἡ τριακοστὴ συνεχωρεῖτο, ἵνα παρόντες τῇ κλήσει συνίδοιεν τὰς ἡμέρας, ἐν αἷς μετὰ τῶν ἐχθρῶν δικάζοιντο.

1196. Ὑπανιῷντο] Ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο. ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ.

1198. Ἕνῃ τε καὶ νέᾳ] Ἀποδεικτικὸς ὁ τόπος, ὅτι ἕνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέσταλκε γὰρ πρὸς νουμηνίαν.

---

*) Δὲ additum e Plutarcho.

**) Sic iam Kusterus scribendum monuit e Suida in θέσεις. Legebatur μεταβολαί. Mox Suidas ὅςπερ μισθὸς ἦν.

***) Kusterus πρυτανεῖα. Δικαστήρια defendit Ernestius p. 33.

†) Sic Ernestius p. 33. Legebatur ἐναγόμενοι.

Ἀρχαὶ δέ, οἱ ἄρχοντες. *Πρυτανεῖα* δέ, τὰ διδόμενα ὑπὸ*) τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια.

1199. *Ὅπερ οἱ προτένθαι*] Οὐκ ἔτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ' εὐθὺς ἐπὶ τὸ καταβάλλειν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν**) ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. *Προτένθαι* δέ, οἱ προλαμβάνοντες***) τὰ ὄψα, πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μεταπιπράσκοντες πλείονος· οἱ νῦν *μετάβολοι* καλούμενοι· ἢ ἀκρατεῖς. ✠ Λαίμαργοι. Glossa. *Προτένθαι*. τένθης, λίχνος καὶ γαστρίμαργος. *Αἰλιανός*. *τένθης καὶ ὀψοφάγος*. τένθειν δέ, τὸ ἐσθίειν. Schol. Vict.

1200. *Ὅπως τάχιστα*] Τοῦτο οὕτω συντάξεις· ὅπως τάχιστα ὑφελοίατο καὶ λάβοιεν τὰ πρυτανεῖα, διὰ τοῦτο προὐτένθευσαν καὶ προὔλαβον ἡμέρᾳ μιᾷ. δοκοῦσι γάρ μοι παθεῖν, ὅπερ οἱ προτένθαι. ἐποίησε δὲ τὴν σύνταξιν ἀσαφῆ τῷ προτάξαι τὴν κατασκευήν. Schol. quarti Reg.

Ὑφελοίατο] Λάβοιεν†).

1201. *Προὐτένθευσαν*] Προελιμβεύσαντο, προελιχνεύσαντο, προὐθέσμευσαν ἡμέραν μίαν. ℊ Προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν τοῦ κέρδους. ✠ Ἐλαιμάργησαν, προέλαβον. Glossa.

1202. *Ἀβέλτεροι*] Ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος· ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς δανειστὰς††) ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. ✠ Ἀμαθεῖς. Glossa.

---

*) Sic Ernestius p. 33. Legebatur ἀπό.

**) Sequebantur verba ἀπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, male hic repetita e schol. ad v. 1201.

***) Verba καὶ προεσθίοντες, quae post προλαμβάνοντες legebantur, Reizio auctore delevimus. Nec sunt apud Suidam in προτένθαι. Deprompta videntur ex alio scholio.

†) Sequebatur οὐκέτι usque ad ὁρμῶσι, quae etiam ad v. 1199. leguntur, et male scriptum erat καταλαβεῖν.

††) Boeckhius in libro de tragicis Graecis p. 94. legendum putat θεατάς, quod et Bisetum habere et Suidam in ἀμφορεαφόρους. Apud neutrum inveni.

1203. *Κέρδη*] Τρυφή, γέλως, ἀπάτη. *Λίθοι*, ἀναίσθητοι. Glossae.

1204. *Ἀριθμός*] Μάταιον πλῆθος. *Πρόβατ'* ἄλλως, ἁπλούστατοι μάτην. *Ἀμφορῆς*, Μεγαρικὰ σεσωρευμένα. Glossae. *Ἀμφορεῖς νενοισμένοι*. ἐστερημένοι οἴνου ἢ φρονήσεως. Gloss. cod. Leid. *Νενασμένοι*. ναίω, νήω ἢ νάσσω· ὁ μέλλων, νάσω, νένακα, νένασμαι· νενακὸς ἡ μετοχή. Gloss. Vict.

1207. *Μάκαρ, ὦ Στρεψίαδες*] Στρεψιάδη μέν, ἡ κλητική· ἀλλ' ἵνα παίξῃ εἰς τὸ ὄνομα, διέστρεψε τὴν κλητικήν, καὶ ὡς ἄγροικος ἔπταισεν. Ἔκθεσις δὲ τῆς διπλῆς περιοδικὴ εἰς μέλος μονοστροφικὸν τοῦ ὑποκριτοῦ ὀκτάκωλος· ὧν τὸ πρῶτον, Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν· εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον, Ἰωνικὸν ἀπὸ μείζονος ἐφθημιμερές, ἀντὶ Ἰωνικοῦ ἔχον ἐπίτριτον τρίτον*). τὸ τρίτον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον, ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία**) ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλεῖδος· τὸ πέμπτον, ἰαμβικὸν ἑφθημιμερές. τὸ ϛ', Ἰωνικὸν τρίμετρον καταληκτικόν, ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου***) καὶ Κρητικοῦ· εἰ δὲ βούλει, τροχαϊκὸν τρίμετρον καταληκτικόν, ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως, τιθεμένου. ἢ τὸ μὲν πέμπτον, Ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ δ' ἕκτον, ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας. συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν, τὴν εἰς ἰαμβικὸν τρίμετρον ὑπερκαταληκτικὸν †) καὶ δόχμιον ††). τὸ ἕβδομον, Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον,

---

*) *Τρίτον* aberat.

**) Reizius scribebat *δύο*. At scholiastes hic loquitur de iis, qui v. 1209. non *ἐκτρέφεις*, sed *τρέφεις* legebant.

***) Aberat *τρίτου*, additum ab Reizio.

†) Emendatio Reizii. Legebatur *ἰαμβικὴν τρίμετρον ὥςπερ καταληκτικήν*.

††) Triplicem rationem distinguendorum versuum commemorat scholiastes primam, ut vulgo,

> *χοἰ δημόται ζηλοῦντες,*
> *ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας,*

alteram,

> *χοἰ δημόται ζηλοῦντες, ἡ-*
> *νίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας,*

ἐξ Ἰωνικοῦ καὶ διτροχαίου· ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον, Ἰωνικὸν ἡμιόλιον, ἐκ διτροχαίου καὶ σπονδείου· ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι· ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.

1215. *Εἶτ' ἄνδρα*] Κορωνὶς ὁμοία ταῖς ῥηθείσαις. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέ, ὧν τελευταῖος,

ὅτι ἡ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ἐπὶ τῷ τέλει κορωνίς. Ἔρχεται δὲ δανειστὴς τοῦ Στρεψιάδου Πασίας, ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα· πρὸς ὃν διαλέγεται. *Προϊέναι* δέ, ἀντὶ τοῦ προδιδόναι καὶ κιχρᾶν. ἀσχάλλει δὲ ἐπὶ τῷ μὴ κεκομίσθαι, ἅπερ ἐδανείσατο, χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, εἰπών, μὴ διδόναι. ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι, ἀλλ' οὐ τῷ δανειστῇ*). ὁ γὰρ δανείζων ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι. ϑ Ἄλλως**). *Προϊέναι* ἐμφαντικῶς, ἀντὶ τοῦ ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν.

1217. *Ἀπερυθριᾶσαί γε μᾶλλον*] Ἀντὶ τοῦ, ἀρνησάμενον μὴ χρῆσαι, ἢ χρήσαντα πράγματα ἔχειν. ϑ Ἀναισχυντῆσαι εἰπόντα μὴ ἔχειν. ✠ Ἐκ τοῦ μὴ διδόναι δάνειον, μᾶλλον ἢ λαβεῖν ὕστερον ὀχλήσεις ἐν τῇ ἀπαιτήσει. Glossa.

1218. *Ὅτε*] Ἐπεί. Glossa.

1221. *Τὴν πατρίδα*] Κατηγορεῖ Ἀθηναίων, ὡς περὶ τὰς δίκας ἀεὶ διατριβόντων. Glossa.

1223. *Ἐς τὴν ἕνην τε καὶ νέαν*] Εἰς δικαστήριον δηλονότι. ὑπέρβατον δέ· ἀλλὰ καλοῦμαι Στρεψιάδην εἰς ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ *καλοῦμαι*.

1224. *Τοῦ χρήματος*]. Λείπει χάριν, ἢ περί, Ἀττικῶς. ϑ Ἕνεκα τοῦ χρήματος, οἷον, τοῦ πράγματος, ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστής, *τῶν δώδεκα μνῶν*, καὶ τὰ ἑξῆς.

---

tertiam,

> χοἱ δημόται ζηλοῦντες, ἡνίκ' ἂν σὺ νικᾷς
> λέγων τὰς δίκας.

*) Legebatur οὔτε δανεῖσαι.

**) Sic correxit Harlesius. Legebatur ἀλλά.

1226. *Τὸν ψαρὸν*] Τὸν ταχὺν ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. ἢ τὸν τὸ χρῶμα τοιοῦτον. ✠ Ποικίλον. Glossa. Λευκόν. Glossa cod. Brunck.

Οὐκ ἀκούετε] Αὐτοῦ διαβάλλοντός με. Glossa cod. C. Αὐτὸν διαβάλλοντά με. Glossa cod. Brunck.

1229. *Νὴ τὸν Δί'.* ναὶ ὤμνυον δηλονότι. Gloss. Vict. *Ἐξηπίστατο.* ἦν μαθών. Gloss. cod. Harl.

1230. *Τὸν ἀκατάβλητον*] Τὸν ἀήττητον· τὸν μηδενὶ καταβαλλόμενον. πρὸ δὲ τοῦ, μὰ τὸν Δία, τὸ ναὶ ληπτέον ἔξωθεν, οὕτως· ναὶ ὤμνυον· οὐ γὰρ ἠπίστατο μὰ τὸν Δία ὁ Φειδιππίδης· καὶ τὰ ἑξῆς.

1231. *Ἔξαρνος*] ἐξαρνούμενος. Gloss. Vict.

1234. *Ἵν' ἂν*] Ὅπου τὸ ἵνα μεθερμηνευτέον*) ἐστί. Glossa.

1236. *Προςκαταθείην*] Ἀντὶ τοῦ, ζημιωθείην ἂν τρεῖς ὀβολούς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τοῦ ὅρκου. θεοὶ γάρ, ὥς φησιν**), οὐκ εἰσί. τὸ δὲ ἑξῆς, καὶ προςκαταθείην ἂν τριώβολον, ὥςτε ὀμόσαι νὴ Δία. ✠ Κἂν *προςκαταθείην.* μὰ τὸν Δία καὶ προςκαταθείην ἄν, ἤτοι προςκαταβάλοιμι***) τριώβολον. Schol. cod. Cant. 3.

1238. *Διασμηχθεὶς*] ✠ ✠ ✠ οἳ†), σμηχόμενοι ἁλσί, βελτίονες γίνονται· ἅμα καὶ ὅτι τοὺς παραφρονοῦντας ἁλσὶ καὶ ἐλαίῳ διέβρεχον, καὶ ὠφελοῦντο. 𝔍 Ὡς παχύδερμον δὲ αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνονται, ὡς πλέον χωρεῖν μέτρον. ὄναιτο δέ, διὰ τὸ βάρος τοῦ δέρματος. 𝔍 Οἷον ἀποκαθαρθεὶς τὴν παχύτητα. ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. ταῦτα δὲ λέγει, ἢ ἀσκόν, ἢ ἀγγεῖον χαλκοῦν βαστάζων. 𝔍 Ὡς ἐπ' ἀγγείου, ἢ ἀσκοῦ· τινὲς δέ, ὡς ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. 𝔍 Ἄλλως. Τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων, καὶ τοῦ οἴνου, οἷς ἅλες ἐμβάλλονται††), ὑπὲρ τοῦ μὴ ἐξίστασθαι, μηδὲ ὀξίζειν εὐχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης ὥς-

---

*) Sic scripsi. Legitur μεθερμηνευτικόν.

**) Legebatur ὥς φασιν.

***) Codex προκαταθείην et προκαταβάλοιμι.

†) Legebatur οἱ. Suidas in ἁλσὶ διασμηχθεὶς habet οἵτινες. In eo pariter ut hic, quae praecesserant, interierunt.

††) Legebatur βάλλονται. Apud Suidam ὅσοι ἅλες βάλλονται.

περ *) παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὡς**) ἐπὶ ὡμολογημένοις ἔξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη, διαβρεχθεὶς ἁλσίν ***).

1239. Ἐξ χοᾶς] Πάλιν χλευάζει, ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὰ ****) ἀνωτέρω, ἂν σμηχθῇ, πλέον †) χωρήσει. ϑ Ὥςπερ λήκυθος, ἢ ἀσκός, ἢ ἄλλο τι τῶν τοιούτων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρυγότων ἀποπεπλημένων ††). χοεὺς δέ ἐστιν εἶδος μέτρου, ᾧ μετροῦσι τὸν οἶνον. ὃ καὶ κλίνεται χοέως, ὡς Πηλέως· ὡς καὶ ἐν Ἱππεῦσί φησιν (v. 95.)·

ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.

ἐνταῦθα δὲ τὸ χοᾶς, εἰ μὲν περισπᾶται, ἐκ τούτου †††) τοῦ χοεύς ἐστι, κατὰ ποιητικὴν ἄδειαν. χοῆς γὰρ ὤφειλεν εἰπεῖν· ὡς ἱππῆς. εἰ δὲ βαρύνεται, ἐξ ἑτέρας ἐστὶν εὐθείας, ἥτις ἐστὶν ἡ χοή, θηλυκῶς, καὶ κλίνεται, τῆς χοῆς.

1241. Καταπροίξει] Καταφρονήσεις· παρὰ τὴν προῖκα. δωρεὰν ἐπεγχανῇ μοι.

Ἤσθην] Παρεπιγραφή. γελῶν γὰρ τοῦτό φησιν. ἐκκαγχάζει γάρ, τῆς προςηγορίας ἀκούσας τοῦ Διός, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φησιν ††††), ἐπεὶ δεδίδα-

---

*) Sic e Suida dedimus. Legebatur καὶ ὡς.

**) Suidas ὅς, quod non est reponendum, ut quidam voluerunt. Verba haec de Strepsiade debitum recusante intelligenda.

***) Quae apud Suidam sequuntur, ὡς ἐπὶ ἀσκοῦ λόγον ποιούμενος, non ad hoc, sed ad aliud scholion pertinent. Eadem, et alia quaedam, quae hic leguntur, idem habet in παχεῖς.

****) Legebatur τῷ.

†) Legebatur τέλεον.

††) Primae edd. τῶν ἐμπεφρακότων ἀποβεβλημένων, recentiores ἀποβεβυσμένων. Suidas in χοᾶ sic scribit: καὶ παροιμία, ἐξ χοᾶς χωρήσεται, ἐπὶ τῶν παραληρούντων. τουτέστιν, ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφράκτων ἀποβεβλημένων. Kusterus ad Suidam prorsus inepte corrigit, τῶν ἐμφράκτων, ἤγουν ἀποβεβυσμένων. Ἐμπεφρυγότας, media verbi forma, dicit utres arefactos et qui propterea minus extendi possunt. In v. ἀσκὸς ἐν πάχνῃ de eadem re utitur verbis σκληρύνεσθαι καὶ πήγνυσθαι.

†††) Hoc vocabulum additum ex Aldina.

††††) Legebatur φασιν, et paullo ante καὶ τοῦ Διός.

κται μήτε τον Δία, μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεούς, ἀλλ' ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον, ὡς ἔφησεν ὁ Σωκράτης.

1242. Τοῖς εἰδόσιν] Ἀντὶ τοῦ, ἐμοὶ τῷ εἰδότι. ἢ τοῖς ἐπιστήμοσι καὶ εἰδόσιν, ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς παρὰ σοί.

1248. Ἀποδώσειν σοι] Τινὲς τοῦτο τοῦ κλητῆρος εἶναι λέγουσιν. ἢ εἰςελθόντος τοῦ Στρεψιάδου ὁ δανειστής φησι πρὸς τὸν μάρτυρα.

1249. Τουτὶ τί ἐστιν] Εἰςελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας σφαγίδιον *) ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ πυνθάνεται, ὅ τί ποτε αὐτὸ προςαγορεύοι. ὁ δὲ συνήθως φησὶν ἀρσενικῶς, κάρδοπος. οὗτος δὲ ὑπὸ**) τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ τὸν δανειστήν, οὕτω φησίν.

1253. Οὐχ ὅσον γέ μ' εἰδέναι] Ἀντὶ τοῦ ὡς νομίζω. ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμί, καὶ οἶδά τι.

1254. Ἀπολιταργιεῖς] Λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. ϑ Ἀποδραμῇ, ἀποσκιρτήσεις, καταλείψῃ ἀπὸ τῆς θύρας· ἥτις ἐστὶν ἡ λίτη. ϑ Ἢ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχὺ καὶ τὸ λίαν***). ταχέως οὖν, φησίν, ἀποδραμῇ. ✣ Ὑποχωρήσεις, ἀπέλθῃς. Glossa.

1256. Θήσω πρυτανεῖα] Λείπει κατὰ σοῦ. ϑ Γραφήν†). ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν ἀδίκων γραφάς. Εὐηθικῶς δέ, ἀπαιδεύτως.

1257. Προςαποβαλεῖς] Ἀντὶ τοῦ, ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς δώδεκα μναῖς, ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης· ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

1260. Ἰώ μοί μοι] Κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μγ'. ὧν προτίθεται κῶλα δύο· τὸ πρῶτον, ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον· τὸ δεύ-

---

*) Sic Ernestius p. 33. Legebatur σφραγίδιον.

**) Legebatur ἀπό.

***) Legebatur, ἢ ἀπὸ τοῦ ἀργοῦ, (ὃ δηλοῖ τὸ ταχὺ) καὶ τὸ λιπεῖν. Correctum e Suida in ἀπολιταργιεῖς. Vide Etym. M. et schol. ad Pacem v. 561.

†) Hoc vocabulum legebatur post λείπει.

τερον, ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον*). ὁ δὲ τελευταῖος τούτων·

αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ἐπὶ τῷ τέλει κορωνίς.

1263. *Τῶν Καρκίνου τις δαιμόνων*] Παρ' ὑπόνοιαν εἶπεν, ἀντὶ τοῦ παίδων· ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰὼ μοί μοι. Καρκίνου δὲ παῖδες, Ξενοκλῆς, Ξενότιμος, καὶ Δημότιμος. καὶ οἳ μὲν χορευταί· Ξενοκλῆς δὲ τραγῳδίας ποιητής **). ὡς βέβαιον δὲ ἔχων τὸ νικᾶν, κατειρωνεύεται αὐτοῦ. † Ἄλλως. Φασὶν ὡς ὁ Καρκίνος οὗτος ποιητὴς ὢν τραγικός, εἰςήγαγέ τινας τῶν θεῶν ἔν τινι δράματι δεινοπαθοῦντας***). † Δαιμόνων. δαίμονες οἱ θεοί, δαήμονές τινες ὄντες ἢ ζα....ροι ἢ ἀπὸ τοῦ πάντα μερίζεσθαι, δάσσεσθαι. Gloss. Vict.

1266. *Ὦ σκληρὲ δαῖμον*] Τοῦτο Ξενοκλέους ὑπὸ Τληπολέμου λεγόμενον†). διὸ καὶ ἐπήνεγκε· τί δαί σε Τληπόλεμος. ℐ Ἐπεὶ δὲ Ξενοκλέους τοῦ Καρκίνου ἐμνήσθη, καὶ τὰ αὐτοῦ τραγῳδεῖ, εἰρηκώς, ὦ σληρὲ δαῖμον. ℐ Τοῦτο δὲ εἶπε διὰ τὸ ἄνω εἰρηκέναι, ἰώ μοί μοι, καί, ἀνηρ κακοδαίμων. Εὐφρόνιος δέ φησι, τό, ὦ Παλλάς, ὥς μ' ἀπώλεσας, Ξενοκλέους εἶναι ἐκ τοῦ Λικυμνίου, λεγόμενον ὑπὸ Ἀλκμήνης, τοῦ Λικυμνίου ὑπὸ Τληπολέμου††) ἀνῃρημένου. διὸ καὶ ἐπήνεγκεν αὐτός·

τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν.

✻ ✻ ✻ ✻ καὶ τὸ χρυσάντυγες†††) παραπεποιῆσθαι· ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. ✻ Θρανσάντυγες. ἄντυξ, ἅρματος περιφέρεια. Gloss. Vict.

1269. *Ὦ 'τάν*] ὦ σύ, ὦ ἑταῖρε, ὦ οὗτος, ὦ μακάριος,

---

*) Scholiastes enim ἔα extra versum legebat.

**) Vide Suidam in Καρκίνος, et Fabricii Biblioth. Gr. vol. II p. 326.

***) Hoc scholion etiam in Victorianis est.

†) Addidi λεγόμενον, ut infra, λεγόμενον ὑπὸ Ἀλκμήνης.

††) Sic Aldus. Vulgo additus articulus.

†††) Legebatur χρυσάμπυγες. Locus mutilus est.

πρόσρημα τιμητικῆς λέξεως. λέγεται δὲ καὶ ἐπὶ εἰρωνείᾳ πολλάκις.

1272. *Κακῶς ἄρ' εἶχες*] Διὰ τὸ ἄνω εἰρηκέναι, *ἰώ μοί μοι*, καί, *ἀνὴρ κακοδαίμων*.

1274. *Ἵππους γ' ἐλαύνων*] Καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυςπράγησεν.

1275. *Ὥςπερ ἀπ' ὄνου*] Ἐπὶ τῶν ἀλόγως πραττόντων ἡ *παροιμία*, καὶ μὴ*) δυναμένων ὄνοις χρῆσθαι, μήτε γε δὴ ἵπποις. ὁ μέν τοι *Πλάτων* ἐν τρίτῳ Νόμων (p. 701. C.) τὴν τελευταίαν περισπᾷ, ἀπὸ νοῦ λέγων, οὕτως· *καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν, ἀπὸ νοῦ***) *πεσεῖν*. Ϛ Ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ δέον εἰπεῖν ἀπὸ τοῦ νοῦ, εἶπεν, *ἀπ' ὄνου*. Ϛ Ἄλλως. Γράφεται καὶ *ἀπ' ὄνου*, καὶ *ἀπὸ νοῦ*. κεῖται δὲ *παροιμία* ἀπ' ὄνου. φασὶ γάρ, ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τοῦ τίς αὐτὸν**) λήψεται, ἔλαθεν αὐτοὺς ἄμφω ἀπολέσαντας αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῷον.

1279. *Προςκεκλήσεσθαι*] Ἀντὶ τοῦ διὰ μαρτύρων ἀπαχθήσεσθαι. Ϛ Εἰς τὸ δικαστήριον κληθήσεσθαι. κατὰ κοινοῦ δὲ τὸ δοκεῖς.

1281. *Καινὸν αἰεὶ τὸν Δία*] Νέον ὕδωρ ὕειν νομίζεις, φησίν, ἢ πάλιν ἀντεπαγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου;

1288. *Τί θηρίον*] Τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ, ὦ θηρίον, τί ἐστιν ὁ τόκος. ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίου καὶ τόκον†).

1292. *Τὴν θάλατταν*] Τί δῆτά ἐστιν, ἃ νομίζεις; καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον.

1300. *Ὦ σαμφόρα*] Τινὲς τοῦτο Στρεψιάδου· τινὲς ὅλον

---

*) Sic Aldina. Vulgo οὐ.

**) Suidas in ἀπ' ὄνου καταπεσὼν habet ἀπό τινος νοῦ. Edd. Platonis recte ἀπό τινος ὄνου. Vide notam ad textum Aristophanis.

***) Legebatur αὐτοῦ.

†) Sic recte Aldina. Vulgo τόκου.

τοῦ κλητῆρος. 𝔖 Ἀντὶ τοῦ, ὦ *) κλῆτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται.

1301. Ἄξεις; ἐπιαλῶ] Ἡ γραφὴ διϭή, καὶ ἐπὶ ἄλω, καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περισπωμένως τὸ ἄξεις ἀπειλητικῶς χρὴ λέγειν· οἷον, ἄξεις, ὁρμήσεις τοὐντεῦθεν· ἐπεὶ ἀλῶ σε· ὅ ἐστιν, ἐξελάσω σε· εἰ διφθογγογραφεῖται· καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτόν, ὥςπερ ἵππον παρήορον. πρὸς δὲ τὴν ἑτέραν γραφήν, ὡς ἠθικῶς λέγοντος, οἷον, ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μύλωνα ἐπὶ τὸ ἀλήθειν, ἀντὶ τοῦ, ἄπαγε σὺ σεαυτὸν ἵππον· κἀκεῖθεν τραφήσῃ. 𝔖 Ἄλλως. Ἐπιαλῶ, μέλλων, ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σε**). 𝔖 Ἐν ἤθει δὲ τὸ***) ἄξεις λέγει· οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ, ἀντὶ τοῦ ἐπιπέμψω σε. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθῷ πορεύεσθαι, ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. Σειραφόρος δέ, ὁ ἔξω τοῦ ζυγοῦ. 𝔖 Ἄλλως. Ἐὰν μὲν οὗτος ὁ λόγος ᾖ ἠθικός, ἀπέρχῃ, ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτόν, ὡς σειραφόρον· ἐὰν δὲ ἐπὶ ἄλω, οὕτως· ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σου τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι· οὐδὲ γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως· ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτόν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντρυμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων. ✠ Κινήσω. συντρίψω †). Glossae.

1302. Ὑπὸ τὸν πρωκτόν σε] Μήποτε οὐκ ἔστι σέ, ἀλλὰ σύ· εἰ μὴ ἄρα λέγει, ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον, οὗπερ ††) αὐτὸς ἐργάζῃ.

1304. Ξυνωρίσιν] Ξυνωρίς, ἅρμα ἵππων ἐξευγμένον. Gloss. Vict.

1305. Οἷον τὸ πραγμάτων ἐρᾶν] Κορωνὶς καὶ εἴςθεσις μέλους, ἐξιόντων ὑποκριτῶν, μονοστροφικοῦ ἐκ κώλων ιη΄. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῖ φλαυρῶν ποδὸς ἀνθ' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ

---

*) Ὦ omissum a Kustero.

**) Legebatur σοι. Correctum ab Reizio e sequente scholio.

***) Legebatur ἐν ἤθει ἐν τῷ ἄξεις.

†) Legitur νικήσω, συντρίβεις. Sed συντρίψω est in C. et quarto Reg.

††) Sic Reizius. Legebatur ὅπερ.

δεύτερον, ἐκ διϊάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτόν, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον, ὅμοιον, ἢ ἐκ παιώνων δευτέρων. τὸ ε', χοριαμβικὸν ἐξ ἐπιτρίτων τρίμετρον καταληκτικόν*), τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές**). τὸ ζ', ὅμοιον, τρίμετρον μέντοι. τὸ η', χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον***). τὸ θ', ἀντισπαστικόν, ἐξ ἐπιτρίτου τρίτου, καὶ πρώτου, ὅμοιον. τὸ δέκατον, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια', καὶ ιβ', ὅμοια τῷ τρίτῳ. τὸ ιγ', χοριαμβικὸν πενθημιμερές· εἰ δὲ βούλει, δακτυλικὸν δίμετρον†). τὰ ἑξῆς τρία, ἀντιπαστικὰ ἑφθημιμερῆ Φερεκράτεια· τροχαϊκῆς††) κατὰ τὴν πρώτην τοῦ Φερεκρατείου†††) χώραν κειμένης ταυτοποδίας††††). τὸ παρατέλευτον, ὅμοιον τῷ τρίτῳ· μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς. αἰνίττεται δὲ εἰς τὸν Στρεψιάδην,

---

*) Legebatur, τὸ ε' χοριαμβικὸν ἐξ ἐπιτρίτων· ἢ ἰαμβικὸν τρίμετρον καταληκτικόν. Reizius scribendum putabat ἀκατάληκτον. At patet, delenda fuisse ἢ ἰαμβικόν.

**) Magna haec hominis imperitia est, verba πρᾶγμ' ὃ τοῦτον ποιήσει ita metientis.

***) Si haec vera sunt, uno versu ille comprehendebat verba,
τὸν σοφιστήν, ὧν πανουργεῖν ἤρξατο.
Sed ita remanet Glyconeus in vulgata scriptura,
ἐξαίφνης τι κακὸν λαβεῖν,
quem ille dimetrum potius antispasticum, quam choriambicum trimetrum brachycatalectum dicere debuit. Hinc suspicari licet, eum aliud in suo libro scriptum invenisse. Sequentem versum habuit, ut vulgo legitur,
οἶμαι γὰρ αὐτίχ' εὑρήσειν, ὅπερ.

†) Legebat enim τοῖς δικαίοις in Aristophane.

††) Legebatur διτροχαϊκῆς.

†††) Legebatur πεντεκαιδεκάτου, quod re ipsa iubente mutavimus. Nam qui versus scholiastae decimus quintus est,
οἷσπερ ἂν ξυγγένηται,
eamdem plane mensuram, quam praecedens et sequens, habet.

††††) Non satis accurate loquutus est, quandoquidem ταυτοποδία plane eodem pede iterato constat: vide Atilium Fortunatianum p. 2688. Atqui hic epitritus secundus est.

λέγων, ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν. ἰστέον δέ, ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν. ὁ δὲ χορὸς ἐπὶ τῆς σκηνῆς ὢν ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου, προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ.

1311. *Τὸν σοφιστὴν*] Τὸν φιλόσοφον. τὸν παῖδα, ἢ τὸν γέροντα. ἀπὸ τοῦ σοφίζεσθαι.

1323. *Ἴσως ἴσως*] Εὔξεται παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων, τέλεον ἄφωνον αὐτὸν εἶναι.

Βουλήσεται] Ἐπεὶ μείζω κακὰ πείσεται, ἢ φέρειν οἷός τ' εἶναι. Glossa B. et C.

1325. *Ἰοὺ ἰού*] Κορωνὶς ἑτέρα εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγʹ. ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον, ὁ δὲ τελευταῖος τούτων,

καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

ἐπὶ τῷ τέλει κορωνίς. κέχρηται δὲ προαναφωνήσει τῷ *ἰοὺ ἰού*. τινὲς δὲ ἁπλοῦν τὸ *ἰοὺ* φασίν. ¶ Σχετλιάζων δὲ ἔξεισιν ὁ πρεσβύτης, ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον δέ, ὅτι πάντα ταῦτα διαπέπλασται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, δεικνύναι διὰ τούτων φιλοτιμουμένῳ*), ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ τοὐναντίον, πονηρούς, ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, καθίστησι.

1327. *Ἀμυνάθετε*] Βοηθήσατε. Glossa quarti Reg. Ἀμυνάθειν, ἀμύνειν, βοηθεῖν. Gloss. Vict.

Πάσῃ τέχνῃ] Παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ δὲ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι**).

1331. *Πατραλοῖα*] Οὐ μόνον πατραλοίας, ἀλλὰ καὶ πατραλῴας εὕρηται. Schol. Cant. 1.

1332. *Καὶ πλείω*] Ἀντὶ τοῦ χείρονα καὶ πλείω τούτων εἰπέ.

1334. *Λακκόπρωκτε*] Εὐρύπρωκτε. Glossa.

1342. *Ἐδιδαξάμην*] Παθητικὸν ἀντὶ ἐνεργητικοῦ δύναται***) δὲ εἶναι μεσότητος Ἀττικῶς, ἀντὶ τοῦ, ἐξεπαίδευσα δι'

---

*) Legebatur φιλοτιμούμενος.

**) Hoc scholion et sequens omisere Portus et Kusterus.

***) Sic scripsi e Suida in ἐδιδαξάμην. Legebatur λέγονται.

ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι' ἑαυτοῦ. ✠ Ἤγουν εἰς διδάσκαλον ἔπεμψα. ἔστι δὲ κατ' εἰρωνείαν. Glossa.

1344. *Μέλλεις*] Ἔμελλες. Glossa cod. Brunck.

1349. *Σὸν ἔργον*] Εἴςθεσις χοροῦ, στροφῆς μὲν λόγον ἔχουσα, διὰ τὸ ἔχειν καὶ ἀντίστροφον, τὸ

οἶμαί γε τῶν νεωτέρων,

(v. 1395) ἧς οὐδὲν διενήνοχε· προῳδικὴ δέ, διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ϑ Ἡ διπλῆ καὶ εἴςθεσις*) εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττά, ὅμοια τοῖς ἀνωτέρω· τὰ δὲ ἄρτια, Ἰωνικά, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ τὸ ἥμισυ τοῦ Ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον, ὃ καὶ ἐπῳδὸς ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον λέγεται, ἀντ' Ἰωνικοῦ ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίας μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα**).

1351. *Πεποίθειν*] Ἐθάῤῥει. Glossa.

1356. *Πρὸς χορόν*] Πρὸς ἐμέ. οὕτως ἔλεγον *πρὸς χορὸν λέγειν*, ὅταν τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν, ὁ χορὸς ὀρχῆται. διὸ καὶ ἐκλέγονται ὡς ἐπιτοπλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα, ἢ τὰ ἀναπαιστικά, ἢ τὰ ἰαμβικά· διὰ τὸ ῥᾳδίως ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν.

1357. *Καὶ μὴν ὅθεν γε*] Κορωνίς, καὶ στίχοι ὅμοιοι τῷ διστιχίῳ λγ'. ὧν τελευταῖος,

ἐξέφερον ἄν, καὶ προὐχόμην σε· σὺ δέ με νῦν ἀπάγχων.

μεθ' ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, καὶ στίχος ὅμοιος τοῖς ἄνω.

1359. *Λύραν λαβόντα*] Ἐν τοῖς συμποσίοις κύκλῳ

---

*) Reizius verbum διπλῆ delendum putabat.

**) Verba ἐπὶ τῷ τέλει, et quae sequuntur, legebantur in fine scholii ad v. 1356.

τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευεν *) ᾆσαι ᾠδήν.

1360. Ἄισαι Σιμωνίδου] Τοῦτο τὸ μέλος Σιμωνίδου ἐξ ἐπινικίου**).

ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως.

ἦν δὲ παλαιστὴς Αἰγινήτης. Ϛ Ἄλλως. Τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητής, λέγων·

ἐπέξαθ' ὁ κριὸς οὐκ ἀεικέως,

ἐλθὼν εἰς δένδρων***) ἀγλαὸν Διὸς τέμενος.

φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὲς****) εἶναι. τὸ δὲ ἐπέχθη, καὶ διὰ τοῦ ε ψιλοῦ, ἀπὸ τοῦ πέκω, καὶ διφθογγογραφεῖται. ❖ Τὸν κριὸν ὡς ἐπέχθη*****). τοῦτο τὸ μέλος ἐκ τῶν τοῦ Σιμωνίδου †) ἐστί. φησὶ γὰρ ἐκεῖνος ††), ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀκαίρως†††). ἦν δὲ ὁ Κριὸς οὗτος παλαιστὴς ††††) Αἰγινήτης. Schol. cod. Leid. et Harl. 5.

---

*) Ex Aldina imperfectum pro aoristo revocavimus.

**) Sic ante me iam Valckenarius ad Herodot. VI. 50. Legebatur καὶ Ἐπινίκου. Fabricius Bibl. Gr. vol. I. lib. 2 c. 15. corrigebat ἐπινίκιον.

***) Legebatur δένδρον. Correctum ab Nagelio. Reizius hoc verbum delendum putabat. Valckenarius ad Herodot. VI. 50. p. 459. coniiciebat ἐς ἀγλαόδενδρον. At Simonidis versus hoc potius modo scriptos fuisse crediderim:

ἐπέξατ' ἄρ' ὁ Κριὸς οὐκ ἀεικέως,
δένδρεων ἐςελθὼν τέμενος ἀγλαὸν Διός.

Nisi forte δενδρεῶν' ἐςελθών, τέμενος ἀγλαὸν Διός. Si carmen fuit ἐπινίκιον, non lusit Simonides in ambiguo viri nomine, ut Cleomenes apud Herodotum l. c. Valckenarius enim eumdem hunc Crium putat esse cum illo de quo scribit Herodotus c. 50. et 73. Fortasse ita est: sed incertum, praesertim quum Crii et Polycriti nomina alternasse illa in gente videantur, ut ex eodem Herodoto VIII. 92. colligi potest.

****) Legebatur διαφανής. Intellige τὸ μέλος.

*****) Cod. Harl. ἐπήχθη.

†) Cod. Leid. ἐκ Σιμωνίδου.

††) Cod. Leid. ἐκεῖνος γὰρ οὕτω φησίν.

†††) Cod. Harl. ἐπήξασθ' ὁ κριὸς οὐ κακαίρως.

††††) Cod. Harl. οὗτος ὁ Κριὸς παλαιός.

1361. *Ἀρχαῖον*] Μωρόν. παραιτοῦνται δὲ οἱ φιλόσοφοι κιθαρίζειν ἐν τῷ πίνειν. *Κάχρυς* δέ, ἀντὶ τοῦ κριθὰς πεφρυγμένας. ᾄδουσι δὲ αἱ ἀλήθουσαι, ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον.

1362. *Ὡςπερεὶ κάχρυς*] Καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος, αἷς ἔργον πίνειν καὶ ἕτερόν τι διαπραττομέναις. 𝔊 Ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας ††††). ✠ Πεφρυγμένας κριθάς. Glossa.

1364. *Ὡςπερεὶ τέττιγας*] Παρεποίησε τὸ ᾄδειν, καί φησιν, ὅτι τὸ ᾄδειν φλυαρεῖν. 𝔊 Ὡς τέττιγας, καὶ οὐδὲν ἄλλο.

1368. *Ἀλλὰ μυῤῥίνην*] Μυῤῥίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου, ὥςπερ τὰ Ὁμήρου μετὰ δάφνης. 𝔊 Παρὰ τὰ *Αἰσχύλου*·

οὕνεκ' ἐκεῖ
ἄνθεα λειμώνια.

𝔊 Ἄλλως. *Δικαίαρχος* ἐν τῷ περὶ μουσικῆς· ἔτι*) *δὲ κοινόν τι πάθος ἀεὶ φαίνεται συνακολουθεῖν τοῖς διερχομένοις, εἴτε μετὰ μέλους, εἴτε ἄνευ μέλους, ἔχοντά τι τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγησιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἐκ παλαιᾶς τινὸς παραδόσεως κλῶνα δάφνης ἢ μυῤῥίνης λαβόντες ᾄδουσιν.*

1370. *Ἐγὼ γάρ*] Οὐκ ᾄσω δηλαδή. Glossa.

1371. *Ἀσύστατον*] Οὐ συνεστῶτα, οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει, ἀλλ' ἀραιὸν καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν· ἀσύστατα γάρ. 𝔊 Ἀσύστατον δέ, οἷον ἀδιάθετον· ἀπιθάνους συνιστάντα τοὺς μύθους. ✠ Ἄνισον. Glossa.

Στόμφακα] Σκληρόν· παρὰ τὸ στόμα, καὶ τὸν ὄμφακα· οἷον τραχύν. *Κρημνοποιὸν* δέ, μεγάλας λέξεις ποιοῦντα. ✠ Στόμφακα, μεγαλοῤῥήμονα. Κρημνοποιόν, σκληρολέκτην. Glossae.

---

*) Ἢ ὡς et quae sequuntur, legebantur in fine scholii ad v. 1364.

**) Legebatur ἐπεί, quod verum esse potest, si in sequentibus aliquid excidit.

1374. *Τὰ σοφὰ ταῦτα*] Ἢ ἀντὶ τοῦ ἔπη ἐπινοητέον, ἢ δέον εἰπεῖν, οἵπερ εἰσὶν οἱ σοφοὶ οὗτοι ποιηταί, ὃ δὲ πρὸς οὐδέτερον ἔτρεψεν· ὥςπερ καὶ ἐν *Βατράχοις* ποιεῖ λέγων (v. 89.)·

οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια
τραγῳδίας ποιοῦντα.

1375. *Ὡς ἐκίνει ἀδελφός*] Τὴν Καναχὴν ὁ Μακαρευς. ∮ Τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν *Εὐριπίδου* Αἴολον. ἐκεῖ γὰρ τὰς ἀδελφὰς γαμοῦσιν ἀδελφοί. ὡς ἐπὶ Ἡρακλέους δὲ τὸ ἀλεξίκακε. ∮ Γέγραπται δὲ δρᾶμα *Εὐριπίδου*, Αἴολος λεγόμενον, ἐν ᾧ παρήγαγε Μακαρέα, τὸν παῖδα Αἰόλου, φθείροντα Καναχήν, τὴν ἀδελφήν. ἐπειδὴ δὲ παρὰ Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς, εἰς αὔξησιν τοῦ ἀδικήματος προςέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν, ἐπάγων τὸν *ἀλεξίκακον*· τουτέστιν, ἀποτρόπαιε, καί, ὦ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον.

1377. *Ἐξαράττω*] Κρούω αὐτόν· λοιδορῶ, πλήττω πολλοῖς κακοῖς.

1380. *Κάσπόδει*] Κονιορτοῦ ἐπλήρου. Gloss. Vict.

1385. *Τραυλίζοντος*] Ψελλίζοντος, καὶ μηδὲν ἔναρθρον λαλοῦντος.

1386. *Πιεῖν παρέσχον*] Οὐ μόνον ἐπέχω, τὸ κωλύω· ἀλλὰ καὶ τὸ δίδωμι*). ὥςπερ γὰρ οὐδὲν ἕτερόν ἐστι τὸ παρέχω, τὸ δίδωμι, ἢ παρά σοι ἔχω τι, οὕτω καὶ ἐπέχω ἀντὶ τοῦ ἐπί σοι ἔχω τι. ἡ γὰρ παρὰ καὶ ἡ ἐπὶ ταυτοσήμαντά εἰσιν. Schol. cod. Brunck.

1387. *Μαμμᾶν*] Ἄσημος φωνὴ τῶν παιδίων λαλούντων.

1396. *Πηδᾶν*] Ὁρμᾶν. Gloss. Vict.

1399. *Λάβοιμεν ἄν*] Οὕτως ἀφανισθήσεται πληγαῖς, ὡς νομίσαι ἡμᾶς τὸ δέρμα**) καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν. ✠ Ἀποροῦσί τινες ἐνταῦθα, πῶς οὕτω δέον εἰπεῖν, τὸ δέρμα τῶν γεραιτέρων λάβοιεν ἂν οἱ νέοι, ὁ χορὸς *λάβοιμεν* εἶπεν. λύοντές τινες τὴν ἀπορίαν, εἰς ψυ-

---

*) Hactenus etiam recentior scholiastes.

**) Verba τὸ δέρμα, quae aberant, addenda putavimus.

χρὰν λύσιν ἀποδιδόασιν. ἀλλὰ σὺ οὕτω λέγε· οἶμαι τὰς καρδίας τῶν νεωτέρων πηδᾶν καὶ ὁρμᾶν ἐν ἐκείνῳ, ὅπερ Φειδιππίδης λέξει, λεγόντων δηλονότι καθ' ἑαυτοῦ τῶν νεωτέρων τάδε· εἰ γὰρ ταῦτα οὗτος ἐξειργασμένος, εἶτα λαλῶν καὶ δημηγορῶν ἀναπείσει τὸν πατέρα ὅτι ἀληθῆ πεποίηκε, τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν, ἤγουν ἐκδείροιμεν αὐτούς, ἀλλ' οὐδὲ τοῦ ἐρεβίνθου αὐτῶν, ἤγουν τοῦ αἰδοίου, φεισαίμεθα ἂν δηλονότι· οὕτω τὸ λάβοιμεν ἀπὸ τῶν νέων νόει. Schol. Vict.

1400. Ἐρεβίνθου] Αἰδοίου *). Glossa.

1401. Μοχλευτά] Μοχλοί, κλεῖθρα. μοχλεύειν, κινεῖν. Gloss. Vict.

1403. Ὡς ἡδὺ καινοῖς] Εἴςθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν με'· ὧν τελευταῖος,

τὴν μητέρ' ὥςπερ καὶ σὲ τυπτήσω. τί δῆτα φῂς σύ.

ὁ μέντοι ἑπτακαιδέκατος τρίμετρος ἰαμβικός **) ἐστιν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα.

1406. Ἐξαμαρτεῖν] Βαρβαρίσαι, σφαλῆναι. Gloss. Vict.

1411. Τέθριππον] Ἅρμα. Glossa.

1412. Μέτειμι] Μετελεύσομαι. Glossa quarti Reg.

1414. Ἔγωγέ σ' εὐνοῶν] Ναὶ ἔγωγε ἔτυπτον εὐνοῶν σου, ἵνα καλῆς ἀναγωγῆς τύχῃς. Gloss. Vict.

1417. Ἀθῷον] ἀμέτοχον. Gloss. Vict.

1419. Κλάουσι παῖδες] Τοῦτο ἐξ Ἀλκήστιδος Εὐριπίδου (v. 694.)·

χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς;

✠ Τί ἔτι δή; ἤγουν τί τοῦτό ἐστιν; Gloss. Vict.

1420. Τοῦτο τοὔργον] Τὸ κλάειν. Glossa.

1421. Δὶς παῖδες οἱ γέροντες] Παῖδές τε γὰρ τὴν

*) Vide Suidam in ἐρέβινθος.

**) Aldina ἴαμβός. Vulgo ἰαμβικός. Versu 1419. non habebat scholiastes in exemplo suo verba τίη δή.

ἀρχὴν ἦσαν ἄφρονες· καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ παῖδές εἰσι, τῷ νῷ πάλιν ληροῦντες. καὶ Σοφοκλῆς Πηλεῖ·

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη
γεροντανωγῶ κἀναπαιδεύω πάλιν *).
πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

καὶ Θεόπομπος·

δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

καὶ Πλάτων·

ἄρ', ὡς ἔοικε, δὶς γένοιτ' ἂν παῖς γέρων;

καὶ Ἀντιφῶν· γηροτροφία γὰρ προςέοικε παιδοτροφίᾳ **).

1423. Ὅσωπερ] Οἱ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. τὸ δὲ ἧττον ἀντὶ τοῦ μηδ' ὅλως.

1425. Οὔκουν ἀνήρ] Ἐν ἠθικῇ ἐρωτήσει.

1427. Ἧττον τί δῆτ' ἔξεστι κἀμοί] Ἀντὶ τοῦ, κἀμοὶ οὐδὲν ἧττον ἔξεστι τοῦ παλαιοῦ νομοθέτου. παρὰ δέ τινι τῶν νεωτέρων κατὰ λέξιν οὕτως· ἀποροῦσι πάντες ἐνταῦθα περὶ τοῦ ἧττον. τὸ δέ, ὡς ἐγῷμαι, τοιοῦτόν ἐστιν. εἰπὼν γάρ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς, ἐπήγαγεν ἧττον· δεικνύς, ὡς εἰ καὶ ἔπειθεν, ἀλλ' ἧττον ἢ ἐγὼ αὐτὸς νῦν· ἐπειδὴ καὶ τὰ δίκαια καὶ τὰ μὴ λέγων, ὁμοίως νικῶ. οἱ δὲ τὸ ἧττον πρὸς τὸ τὶ δῆτα συνάπτοντες ψυχροί τινές εἰσιν. ἢ τὸ ἧττον μὴ πρός τι***) σύναπτε· ἀλλὰ μόνον λέγε κατ' ἐρώτησιν· οὐκ οὖν ἀνὴρ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον, ὡς σὺ καὶ ἐγώ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς. ἧττον †); ἀντὶ τοῦ, οὐδαμῶς τοῦτο οὕτως ἔχει. ἢ ὥςπερ ἐν τῷ πρώτῳ τὸ ἧττον πρὸς τὸ ἔπειθε συνήψαμεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον,

---

*) Πάλιν aberat. Affert hunc locum Sophoclis etiam Clemens Alex. Strom. VI. p. 748.

**) Vide Petri van Spaan diss. de Antiphonte in Reiskii Oratoribus vol. VII. p. 829.

***) Sic Aldina. Vulgo μὴ πρὸς τὸ τί.

†) Interpungebatur παλαιούς; ἧττον, ἀντὶ τοῦ. Reizius interpungebat παλαιοὺς ἧττον;

οὕτω· καὶ λέγων ἧττον καὶ ἔλαττον, ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς.

1430. *Συγκεκόφθαι*] Τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι.

1431. *Βοτά*] Βοσκήματα, θρέμματα. Gloss. Vict.

1433. *Πλὴν ὅτι ψηφίσματα*] Ἀντὶ τοῦ, δικαστήρια οὐκ ἄγουσιν. εἰς δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται.

1436. *Σωκράτει δοκοίη*] Ἀπορήσας λύσεως, ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει, πιστοτέραν οὖσαν. τὰ δὲ πρόςωπα οὕτως· ἀπὸ τοῦ *οὐ ταυτόν*, ἕως τοῦ *πρὸς**) *ταὐτά*, τοῦ νέου ἐστίν. ἵν' ᾖ τοῦ πρεσβύτου τὸ *πρὸς ταὐτά*· τουτέστιν, ἅ σοι νῦν περὶ τῶν ἀλεκτρυόνων εἶπον· τὸ *καὶ πῶς* τοῦ Φειδιππίδου λέγοντος. ἐν δέ τισιν ὁ νέος τὸν *οὐ ταυτὸν* καὶ ἑξῆς στίχον εὕρηται λέγων· τὰ δ' ἑξῆς μέχρι τοῦ *ἢν δὲ μὴ γένηται*, Στρεψιάδης. οἷον, καὶ πῶς ἐμαυτὸν αἰτιάσομαι; ἔξεστι γάρ μοι τύπτειν σε· ὥςπερ καὶ σοί, ἐὰν ἔχῃς υἱόν.

1440. *Ἐγχανῶν*] Καταγελάσας. Gloss. Vict.

1441. *Ἐμοὶ μέν*] Τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. *ἐπιεικῆ* δὲ, ὅμοια, πρέποντα.

1442. *Κἄμοιγε*] Κἄμοιγε συγχωρεῖν ὑμᾶς δοκεῖ τοῖς παισί, ἅ ἐστι πρέποντα ποιεῖν εἰς ἡμᾶς. Glossa.

Συγχωρεῖν] Κατὰ τὸ προςῆκον καὶ ἀκόλουθον τοῖς ἐπιεικέσι, συγχωρεῖν αὐτοῖς**).

1444. *Ἀπὸ γὰρ ὀλοῦμαι*] Οὐ βούλομαι. Glossa.

1448. *Τοῦθ' ἕτερον αὖ*] Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ· ὧν τὸ πρῶτον, δίμετρον ἀκατάληκτον. τὸ β', δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. τὰ ἑξῆς τρία, ὅμοια τῷ πρώτῳ. τὸ ἕκτον, τρίμετρον ἀκατάληκτον. τὸ ἕβδομον, δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον, τῷ πρώτῳ ὅμοιον. ꟹ Ἄλλως. Διπλῆ καὶ μέλος ἀμοιβαῖον· οὗ ἡ ἀρχή,

τοῦθ' ἕτερον αὖ μεῖζον·

τέλος δέ,

καὶ τὸν λόγον τὸν ἥττω.

---

*) Correxit Reizius. Legebatur οὐ ταυτά.

**) Haec post πρέποντα sic legebantur: κατὰ τὸ προςῆκον καὶ ἀκόλουθον. συγχωρεῖν τοῖς ἐπιεικέσι, συγχωρεῖν αὐτοῖς.

ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο· ἐπειδὴ καὶ τὰ πρόςωπα κεχωρισμένα εἰσί· καὶ γίνεται μεσῳδικὴ τρίας, δύο *) ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέσον τετράκωλον.

1456. *Ταυτὶ δι' ὑμᾶς*] Ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μα΄. ὧν τελευταῖος·

ἐμοὶ ποιήσω, κεὶ σφόδρ' εἴσ' ἀλαζόνες.

εἶτα ἀναφώνημα τὸ ἰού, ἰού· καὶ πάλιν ἴαμβοι ιε΄. καὶ τὸ**) τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν τετράμετρον καταληκτικόν· ἐφ' ᾧ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποπερατίζουσα.

1460. *Τότε*] Ὅτε τὴν ἀρχὴν προςῆλθον ὑμῖν. Glossa quarti Reg.

1468. *Ὦ φίλτατε*] Λείπει τὸ υἱὲ ἢ παῖ. τοῦτο γὰρ ἐπιγράφεται. πρὸς γὰρ τὸν υἱὸν μετέβη.

1472. *Πατρῷον Δία*] Πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται, ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἤ, ὡς ἕτεροι, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη, καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵτινες ταύτῃ τῇ προςηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δέ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες, ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. ϑ Ἄλλως.

---

*) Legebatur μεσῳδική, τρία ἑκατέρωθεν. At stropham putat haec verba esse:

τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.
τί δ', ἢν ἔχων τὸν ἥττω.

antistropham autem haec:

ἐς τὸ βάραθρον μετὰ Σωκράτους,
καὶ τὸν λόγον τὸν ἥττω.

Quae media sunt, μέσῳδον vocat, et tribus trimetris constare putat, ut ante dixit, hoc modo:

λόγον, σὲ νικήσω λέγων, τὴν μητέρ' ὡς
τύπτειν χρεών; τί δ' ἄλλο γ', ἢν ταυτὶ ποιῇς,
οὐδέν σε κωλύσει σεαυτὸν ἐμβαλεῖν.

Hos versus alii, ut in vulgatis edd., in quattuor versus dividebant, quorum tres priores dimetri acatalectici essent, quartus autem trimeter: unde illa addit, τινὲς δὲ τὸ μέσον τετράκωλον.

**) Aberat articulus.

Οὕτω τιμᾶται παρ' Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων, διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν, καὶ θυσίας συντελέσαι κατα φρήτρας, καὶ δήμους, καὶ συγγενείας, μόνους Ἑλλήνων.

1473. Ἰδού γε Δία] Ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι.

1477. Διὰ τουτονὶ τὸν Δῖνον] Ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου. 𝔊 Ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς *).

1478. Χυτρεοῦν] Τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον περιφερὲς ὡς χύτραν ὠνοματοποίησεν, καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τουτέστι, μάταιον, εὐτελές, χύτρας ἄξιον. ✠ Χυτρεοῦντ'. χυτρεοῦς, ὁ τροχὸς ἐν ᾧ ἐργάζονται τὰς χύτρας. Schol. Harl. 5.

1481. Ὅτ' ἐξέβαλον] Ταῦτα εἰς διαβολὴν Σωκράτους ἐκβαλόντος τὰ δαιμόνια.

1482. Ἀλλ' ὦ, φίλ' Ἑρμῆ] Τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον, ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ τεθνηκέναι αὐτῷ, ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά.

1484. Παρανοήσαντος] Ἀντὶ τοῦ, ἀνοητεύσαντος παρὰ τὸ πρέπον, καὶ πεισθέντος. Ἀδολεσχία δέ, ἡ τῶν ἀηδῶν ὁμιλία. ✠ Φλυαρίᾳ τῇ τοῦ Σωκράτους. Glossa.

1497. Ἰοὺ ἰού] Ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. Gloss. Vict.

1498. Ἱέναι] Πέμπειν. Gloss. Vict.

1504. Μὴ προδῷ] Θραυσθεῖσα. Glossa quarti Reg.

1511. Τῆς σελήνης τὴν ἕδραν] Ἀντὶ τοῦ, τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν, εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. 𝔊 Τὴν περιφοράν **). ἐπὶ τίνος ὀχεῖται, καὶ διὰ τί καὶ πῶς μένει.

---

*) Hoc posterius scholion legebatur ad v. 1478. post ἄξιον.

**) Vulgo ἀποτείνων τοῦ λόγου τὴν ἐπιφοράν. Aldina, ἐπιτείνων τὸν λόγον. τὴν ἐπιφοράν. Vnde locum emendavimus.

Τὰς ἕδρας] Στηρίξεις. Glossa quarti Reg. *Τὴν στήριξιν.* Glossa cod. Brunck.

1512. *Δίωκε*] Ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ ὡς ἠδίκουν, γράφεται καὶ οὓς ἠδίκουν.

1514. *Τόγε τήμερον*] Ἀντὶ τοῦ, τήμερον ἀρκετῶς ἔχει ἡ ἡμετέρα*) * * ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος.

---

*) Legebatur ἡ ἡμέρα, nullo lacunae signo addito. Kusterus articulum omisit. Scribendum putavi ἡ ἡμετέρα. Excidisse enim videtur ἐπίδειξις, vel simile quid.

INDEX GRAECVS.

INDEX LATINVS.

INDEX SCRIPTORVM.

INDEX SCRIPTORVM IN SCHOLIIS.